# BVCOLICI GRAECI

RECENSVIT

A. S. F. GOW

COLLEGII SANCTAE ET INDIVIDVAE TRINITATIS
APVD CANTABRIGIENSES SOCIVS

OXONII
E TYPOGRAPHEO CLARENDONIANO

*OXONII*
*Excudebat Vivianus Ridler*
*Architypographus academicus*

FIRST PUBLISHED 1952
REPRINTED LITHOGRAPHICALLY IN GREAT BRITAIN
AT THE UNIVERSITY PRESS, OXFORD
FROM CORRECTED SHEETS OF THE FIRST EDITION, 1958
1962, 1966

# PRAEFATIO

VIRORUM doctorum qui intra hos centum annos poetas bucolicos Graecos ediderunt praeter ceteros grato animo prosequendi sunt Henricus Ludolfus Ahrens et Udalricus de Wilamowitz-Moellendorff, quorum ille anno MDCCCLV codices optimos selegit, lectiones exprompsit, multa ipse feliciter nouauit, omnibus denique rebus ex inordinato in ordinem adductis uiam posteris muniuit. Illius insistens uestigiis Wilamowitzius in libro suo cui titulus *Die Textgeschichte der griechischen Bukoliker* a. MCMVI codices singulos perpendit, multa obscura illustrauit, rationes exposuit quas ipse secutus bucolicorum textum Bibliothecae Scriptorum Classicorum Oxoniensi anno MCMV primum addiderat, tum quinque postea annis correxit: qui liber, si editori praesto fuisset papyrorum copia nostris temporibus ex harenis Aegyptiis prolata, haud scio an hodie exoleuisset. Papyri autem cum multas Theocrito ueras lectiones primae restituerunt, multas uu. doctorum coniecturas aut comprobauerunt aut redarguerunt, tum uiis quibus tradita sunt carmina illustratis Wilamowitzii doctrinam aliquatenus labefactarunt. Papyris accesserunt editiones nouae scholiorum ueterum a. MCMXIV a Carolo Wendel curata, ipsorum carminum a. MCMXLVI a Carolo Gallavotti, qui codicum indagator indefessus fere omnes ipse inspexit. Itaque cum prelorum Clarendonianorum praesides, Bibliothecae suae Classicae studiosi, iterum recensendos esse poetas bucolicos statuissent meque ad rem uocassent, quamuis scrupulos multos mihi iniceret quod editori tam illustri successurus essem librumque mihi per tot annos comitem familiarem summoturus, tamen noua editione opus esse agnoui, munusque eo minus mihi diffidens suscepi quod Theocritea, maiorem totius libri partem, iam alibi recensueram.

E Wendeli et Gallavottii studiis satis iam perspicuum est

Theocriti carmina priora codicum stirpes tres, suis peculiatas scholiis, conseruare, quarum prima et longe optima, Ambrosiana, in uno tantum codice K[1] et eius apographis superest. Ibi seruantur Idd. i, vii, iii–vi, viii–xiii, ii, xiv, xv, xvii, xvi, xxix, epigr., *Alae*, *Securis*. Quod si Ahrensio et Wilamowitzio fides habenda est, eiusdem erat stirpis codex multo amplior olim Pataui apud Paulum Bucarum superstes, cuius apographum, crebris M. Musuri coniecturis auctum, Philippus Pandulfinus Florentiam misit ad Euphrosynum Boninum qui ibi editionem Iuntinam (Iunt.) curabat. Ex eodem fonte quo Iuntina deriuatae sunt editio Romana Z. Calliergis (Cal.) et, ut nuper compertum est, 'emendationes in nonnulla loca Theocriti deprauata' quas in codice nunc Salmanticensi (Non.) descripsit F. Nonius Pincianus. Itaque cod. ille Patauinus, ubicunque lectiones eius a Musuri coniecturis discerni possent, stirpis Ambrosianae testis alter habebatur, praecipue in eis carminibus quibus caret K animaduertendus. Iudicio huic aduersatus est Gallavottius, Pandulfini apographum ratus non e codice iam deperdito descriptum esse sed e codicis K apographo et ipso codice D; unde manifestum esse quicquid noui praebuerint editiones Florentina et Romana coniectura aut Musuri aut editorum illatum esse nec plus auctoritatis habere. Gallavottii sententiae repugnat quod Id. xxix. uu. 26–40 quos habent codd. K et D utraque caret editio, et si in re obscura nec magni momenti quid sentiam dicendum, mihi uidetur Musurus, si re uera codice D et codicis K apographo usus est, etiam e fonte quodam nobis ignoto lectiones aliquas hausisse.

Codicum stirps altera, Laurentiana, seriem propriam Idd. i, v, vi, iv, vii, iii, viii–xiii exhibet, quibus codices aliquot Theocr. ii, xiv–xvi, xxv, Mosch. iv, Th. xvii, Mo. iii, Th. xxii, xviii, xx, xxi, Mo. i, Th. xix, Bi. i, *εἰς Νεκρὸν*

[1] Codicum sigla pp. xii sqq. subiunxi.





*Ἄδωνιν*, Th. xxiii, Bi. ii, *Syringem*, *Aram Dos.*, addiderunt. Stirps tertia, Vaticana, quae inter Ambrosianam et Laurentianam utraque deterior locum tenet, Theocr. i–xviii uolgato ordine exhibet. Hae autem tres stirpes, etiamsi recte internoscuntur, saepius tamen inter se confusae sunt. Codicum enim sunt qui in aliis carminibus a Laurentiana, in aliis a Vaticana oriundi sint, quiue lectiones stirpi suae alienas mutuentur. Semper praeterea in animo tenendum est stirpium trium codd. archetypos uariis abundasse lectionibus; codicum nostrorum nullum antiquiorem esse quam ut Byzantinorum doctorum emendationem perpeti potuerit; Byzantinis interdum codices nobis ignotos praesto fuisse unde praeter coniecturas suas lectiones singulares et inferre potuerint et intulerint; priorum denique Theocriti carminum textum lectionibus insiticiis penitus contaminatum esse. Quae tamen omnia non multum damni intulerunt, nam his duodeuiginti carminibus praesidio fuerunt grammaticorum studia et largum codicum testimonium. Ceteris sors alia contigit; in codicibus enim aut paucis aut uno tantum seruantur, et praeter exilia ad Theocriti Idd. xxviii et xxix nulla suppetunt scholia, nec ueri simile est aut Moschi aut Bionis aut subditiua triadis totius bucolicae carmina grammaticorum curis unquam munita esse. In his, quamquam aliud alio integrius ad nos peruenit carmen, multa suspicionem mouent, multa ita penitus corrupta sunt ut insanabilia esse iure pronunties.

Carminum priorum tres codicum stirpes archetypo communi genitas esse declarant lectiones falsae quales codicum consensu in Theocr. Idd. ii. 62, xiv. 26, xv. 99 legimus: cum autem eosdem errores ac codices papyrus 𝔓3 in uu. Idd. ii. 60, xv. 16, 127, et alibi exhibeat, uersusque spurius Id. viii. 77 itidem in papyro 𝔓1 exstet, patet etiam papyros has duas et codicum archetypum a libro quodam uetustiore originem

communem ducere. Quem librum, cum 𝔓i saeculi sit p.C. secundi, eo aeuo antiquiorem fuisse statuemus; nec causa est cur ceteras aliunde ortas esse papyros suspicemur. Inest autem codicibus omnibus Theocriti Id. nonum quod genuinum esse nequit, inest etiam et codicibus et 𝔓i octauum, quod uix quisquam hodie genuinum esse credit; adde quod carminis *Berenices*, cuius aliquot uersus exhibet Athenaeus, uestigium nullum alibi inuentum est, et manifestum fit librum illum non carminum corpus conseruasse ab ipso poeta compositum, qui carmina singillatim edita forsan nunquam congesserit. In colligendis uero carminibus duos homines uersatos nouimus quorum epigrammata p. 2 exscripta sunt. Artemidorus Tarsensis, primi a.C. saeculi grammaticus, omnes se *βουκολικὰς Μοίσας* in unum gregem compulisse gloriatur; alter ignotus, quem Wilamowitzius sine iusta causa Theonem esse coniecit, Theocriti carmina, ut uidetur, se ab alienis profitetur segregasse. Quas Musas Artemidorus bucolicas appellauerit, quaeue carmina eius libro infuerint, incertum, sed haud scio an ex eo uitae Theocriteae auctor in Suidae lexico seruatae *βουκολικὰ ἔπη* nouerit quae sola ut pro certo genuina agnoscit. In papyris autem libri in quo Theocritea cum aliorum poetarum carminibus coniuncta erant hactenus nusquam uestigium. Ibi, si epigrammata exceperis, conseruantur carminum omnium genuinorum laciniae, et Id. octaui quod ut genuinum traditum est, Moschi autem, Bionis, ceterorum, ne uersus quidem; unde colligi possit eas omnes a tali libro originem ducere qualis in fronte steterit epigramma *ἄλλος ὁ Χῖος*. Codices unde idyllia stirpibus suis aliena arcessiuerint omnino obscurum, sed copiis Theocriteis uidentur accessisse fasciculi duo, alter, incertum quo tempore, epigrammata continens, quae omnia Meleagrum praeterierant, alter, post Hadrianum principem, Technopaegnia, et e Theocriteis in *Anthologiam* ambo recepti esse.





Dialecti cum habenda est ratio persaepe accidit ut bucolicorum editor nec sibi placere possit nec aliis se placiturum speret. In Theocriti Aeolicis, ubi poetae propositum erat Sappho et Alcaeum imitari, dialectum Lesbiam, quoad nota est nec metro repugnat, restituere non dubitaui. In ceteris et Theocriti et aliorum carminibus plurima incerta, quae tamen editorem multo magis quam lectorem impediunt. Itaque, ne congestis minutiis inhabilis fiat apparatus criticus, ubicunque uel in papyro uel in codice quouis primario seruatur quae uerbi forma satis certa uidetur, ceterorum errores praetermisi; quoties autem aut cod. secundario aut coniecturae recentiori debetur, unde intulerim notaui. Papyrorum et codicum lectiones plenius exposui sicubi aut uerbi forma aut totius carminis dialectus incerta est; ubi autem Theocritus -σδ- ubi -ζ- scripserit, ubi in infinitiuo -εν ubi -ειν, et similia, nemo hodie statuere potest, nemo codicibus credere, et in huiusmodi nugis Wilamowitzium tacite plerumque secutus sum.

Quo ordine carmina Theocriti instruxerit liber ille archetypus unde papyri et codices nostri oriundi sunt ignotum est praeterquam quod idyllia pastoralia in fronte eius uidentur stetisse. H. Stephanus, qui a. MDLXVI carmina bucolicorum inter Poetas Graecos Principes uolgato ordine primus instruxit, codd. stirpis Vaticanae et editores plerosque priores in Theocriti Idd. i–xviii secutus, postea Theocriteis genuinis spuria immiscuit atque Moscho et Bioni, F. Ursino duce, aliena assignauit. Illius ergo ordinem seruaui non quod bonus, nedum optimus, sit, sed quia quo tamdiu usi sunt uu. docti serum est mutare, nec multum praeter lectoris incommodum effecere qui mutauerunt editores. Bionis fragmenta alii aliter disposuerunt, sed cum excepto uno omnia apud Stobaeum conseruentur, ordine eius libri sicut recensuerunt Curtius Wachsmuth et Otto Hense usus sum. Quoniam

autem in ed. nona lexici Graeci ab Henrico Liddell et Roberto Scott compositi editores noui numeros editionis alterius Wilamowitzianae adsciuerunt, eos quoque in uncinis apposui et p. 186 aliarum numerandi rationum conspectum subiunxi.

In apparatu condendo papyrorum lectiones e libris sumpsi quibus primum diuolgatae sunt, codicum plerumque a Gallavottio mutuatus sum qui editorum unus codices omnes inspexit. Vbi autem ille stirpium siglis La, Va, usus est, ut Theocr. i. 17 γε La, δὲ Va, ego codicum sigla substitui quos in uno quoque idyllio ille stirpium testes elegit, et in eo uersu δὲ AGS, γε PQW notaui. In epigrammatis ille, D a K, et CIunt.Cal. a D, deriuatos esse ratus, K solo usus est: quae quoquo modo se res habeat, cum librorum bucolicorum et *Anthologiae Palatinae* textus funditus confusi sint, CDIunt. Cal. quoque citandos esse duxi, editionesque Florentinam et Romanam, quas, ut supra dixi, aliquanto maioris quam Gallavottius aestimaui, alibi quoque illo saepius commemoraui. Ad editiones alias Gallavottiana antiquiores in titulis carminum referendis subinde, alibi perraro, me contuli; erant autem penes me subsidia quaedam unde Gallavottii testimonium interdum aut augere aut corrigere potui. Habebam enim codicis K imagines luce depictas, in epigrammatis codicis D, in Moscheis codicis S, easque etiam adii quas Carolus Preisendanz *Anthologiae Palatinae* (Lugd. Bat., MCMXI), Carolus Wendel codicis Z (*Byz. Zeitschr.* xvi. 461) publici iuris fecerunt. In epigrammatis codicis C lectiones mihi benigne impertiit Gulielmus C. Helmbold; in *Megarae* aliquot locis codicem D mea causa inspiciendum curauit Maria Theresa d'Alverny; quibus gratias maximas ago.

Papyrorum et codicum manifestos et minoris momenti errores cum, ut supra dictum est, in eis quae dialectum spectant, tum in aliis saepenumero omisi; aspirationem, prosodias, iota subscripti (uel adscripti) praetermissiones, uerborum diuisiones, personarum uices, perraro notaui; coniecturae quas in apparatu commemoraui interdum corruptelae suspectae indicia potius quam probatae remedia habendae sunt. Textus quem prelis commisi in Theocriteis et pseudo-Theocriteis in minimis tantum ab eo discrepat quem commentariis et apparatu uberiore instructum Cantabrigiae a. MCML protuli.





Restat ut amicos enumerem quorum ope et beneuolentia multis mendis absolutus est hic libellus. Diuersa enim sciscitanti subuenerunt mihi E. Löfstedt, P. Maas, R. A. B. Mynors, D. L. Page, F. H. Sandbach, in plagulis corrigendis operam nauauerunt P. Maas, I. C. T. Oates, R. M. Rattenbury: quibus omnibus gratias referre munus mihi acceptissimum est.

Scribebam Cantabrigiae
Mense Iulio A. S. MCMLII

Cum nouis exemplaribus opus esset apparatum criticum ad Simiae *Ouum* emendaui, alibi hic illic minoris momenti errores cum typothetae tum meos correxi.

Mense Martio A.S. MCMLVIII

# SIGLA[1]

| | | |
|---|---|---|
| 𝔓1 | Pap. Oxyrhynchi 2064[2]<br>Th. 1, 6, 4, 5, 7, 3, 8 | s. ii |
| 𝔓2 | Pap. Oxyrhynchi 1618<br>Th. 5, 7, 15 | s. v |
| 𝔓3 | Pap. Antinoae[2]<br>Th. 1, 5 . . . 10, 14, 13, 12, 2, 18, 15, 26, 24, 17 . . .(?)28, 29, 30, 31, 22 | *c.* a. 500 |
| 𝔓4 | Perg. Louvre 6678 et Rainer[3]<br>Th. 1, 4, 5, 13, 15, 16, 22, 26 | *c.* a. 500 |
| p.Ox. 1806 | Pap. Oxyrhynchi 1806<br>Th. 22 | s. i |
| p.Ox. 694 | Pap. Oxyrhynchi 694<br>Th. 13 | s. ii |
| p.Ber. 5017 | Perg. Berolinensis 5017<br>Th. 11, 14 | s. vii(?) |
| p.Ined.$^{\alpha}$ | Pap. Oxyrhynchi[4]<br>Th. 18 | s. ii |
| p.Ined.$^{\beta}$ | Pap. Oxyrhynchi[4]<br>Th. 17, 28 | s. iv(?) |

---

| | | |
|---|---|---|
| A | Cod. Ambrosianus 390 (G 32 sup.)<br>Th. 1–18 [fam. Vat.] | s. xiii |
| C | Cod. Ambrosianus 104 (B 75 sup.)<br>a. Th. 1–3, 5, 4, 6–13 [Moschopuleus]<br>b. Th. 11, 14–16, 25, Mosch. 4, Th. 17, Mosch. 3, Th. 22, 18, 20, 21, Bi. 1, Th. 23, Bi. 2, *Syrinx*, *Ara Dos.* [Triclinianus]<br>c. *Ouum*, Th. 28–30<br>d. Mosch. 2, *Νεκρ. Ἄδ.*, Th. 19 [ex Ald.]<br>e. Epigr., Th. 24, 26, 27 [ex D] | s. xv–xvi |
| D | Cod. Parisinus 2726<br>a. Th. 1–3, 8–13, 4–7, 14, 16, 29, epigr., *Alae*<br>b. Th. 17, 18, 15 [Moschopuleus] | s. xv |

[1] Codicum compositorum, qualis est C, partes diuersae litteris a., b., etc. distinctae sunt.
[2] Ediderunt A. S. Hunt et I. Johnson *Two Theocritus Papyri* (1930).
[3] Edidit K. Wessely *Wiener Studien* 8.221 et *Mitt. Pap. Erzh. Rainer* 2.78.
[4] Inde aliquot lectiones in *Theocrito* meo uol. 1 p. 257 protuli.





| | | |
|---|---|---|
| | c. Th. 24, $22^{69\text{–fin.}}$, 26, 28, Mosch. 4, Th. 25, Mosch. 3<br>d. Th. 27, *Securis* | |
| E | Cod. Vaticanus 42<br>Th. 1–18, *Syrinx* [fam. Vat.] | s. xiv in. |
| F | Cod. Ambrosianus 121 (B 99 sup.)<br>a. Mosch. 2<br>b. *Securis*, *Ara Dos.*, *Syrinx* | s. xiii et xiv |
| G | Cod. Laurentianus xxxii. 52<br>a. Th. 1, 5, 6, 2–4, $7^{1–54}$ [fam. Vat.]<br>b. Th. $7^{55}$–13 [fam. Laur.]<br>c. Th. 15, 14, *Alae* | s. xiii ex. |
| H | Cod. Vaticanus 913<br>a. Th. 1–15, 18, Mosch. 3 [ex S]<br>b. Th. 28, $29^{1–8}$ | s. xiii–xiv |
| K | Cod. Ambrosianus 886 (C 222 inf.)<br>Th. 1, 7, 3–6, 8–13, 2, 14, 15, 17, 16, 29, epigr., *Alae*, *Securis* | s. xiii |
| L | Cod. Parisinus 2831<br>a. Th. $5^{55}$–13 [fam. Vat.]<br>b. Th. 14, 15, 17, Mosch. 3, Th. 16 [fam. Laur.] | s. xiii–xiv |
| M | Cod. Vaticanus 915<br>a. Th. $2^{5}$–$3^{6}$, $5^{59}$–$13^{68}$, $15^{71}$–17 [fam. Vat.]<br>b. Th. 22, 25<br>c. *Syrinx*, Mosch. 2 | s. xiii ex. |
| N | Cod. Athous Iberorum 161<br>a. Th. 1, 5, 6, 4, 7 [fam. Laur.]<br>b. Th. 8, 9, 2, 10–$12^{22}$, $13^{57}$–15, 3 [fam. Vat.] | s. xiii–xiv |
| P | Cod. Laurentianus xxxii. 37<br>a. Th. 1, 5, 6, 4, 7, 3, 8–13 [fam. Laur.]<br>b. Th. 15, 14, 2<br>c. Mosch. 3, Th. 16, *Syrinx*, Th. $22^{1–18}$, 17 | s. xiii–xiv |
| Q | Cod. Parisinus 2884<br>Th. 1, 5, 6, 4, 7, 3, 8–13 [fam. Laur.] | a. 1299 |
| S | Cod. Laurentianus xxxii. 16<br>a. Th. 1, 2, $15^{55}$–18 [fam. Vat.]<br>b. Th. 3, 5, 6, 4, 7–14, Mosch. 3, Th. $15^{1–54}$ [Planudeus]<br>c. Mosch. 2, 1, 4 | a. 1280 |

| | | |
|---|---|---|
| U | Cod. Vaticanus 1825<br>Th. $2^{13-41,\ 74-\text{fin.}}$, 3, 4, $5^{1-14,\ 80-105,\ 136-\text{fin.}}$, $6^{1-38}$, $7^{16-\text{fin.}}$, 8–18, *Syrinx* [fam. Vat.] | s. xiv |
| V | Cod. Vaticanus 1824<br>a. Th. 1, 5, 6, 4, 7, 3, 8–13 [fam. Laur.]<br>b. Th. $2^{1-4,\ 50-\text{fin.}}$, 14, $15^{1-34,\ 80-126}$, $16^{23-\text{fin.}}$, $25^{1-6,\ 105-200,\ 247-\text{fin.}}$, Mosch. $4^{1-13}$, $3^{35-\text{fin.}}$, Th. $22^{92-185}$, Mosch. $1^{18-\text{fin.}}$, Th. 19, Bi. 1, *Νεκρ. Ἄδ.*, Th. $23^{1-55}$, *Ara Dos.* | s. xv |
| W | Cod. Laurentianus Conv. Soppr. 15<br>a. Th. 1, 5, 6, 4, 7, 3, 8–13, 2 [fam. Laur.]<br>b. Th. 14–16, 25, Mosch. 4, Th. 17, Mosch. $3^{1-15}$ | s. xiv |
| X | Cod. Vaticanus 1311<br>a. Th. 1–15, 18, Mosch. 3, Th. 28, $29^{1-8}$ [ex H]<br>b. Th. 16, 25, Mosch. $4^{1-13}$, $3^{35-\text{fin.}}$, Th. $22^{1-44,\ 92-185}$, $18^{51-\text{fin.}}$, 20, 21, Mosch. 1, Th. 19, Bi. 1, *Νεκρ. Ἄδ.*, Th. 23, Bi. 2 [ex V] | s. xv |
| Y | Cod. Vaticanus 434<br>*Securis*, *Ara Dos.*, *Ara Besant.* | s. xiv |
| Z | Cod. Laurentianus Ashburnham. 1174<br>*Syrinx*, *Ara Dos.*, *Ouum* | s. xvi |
| Tr | Cod. Parisinus 2832<br>a. Th. 1, 5, 6, 4, 7, 3, 8–13<br>b. Th. 2, 14–16, 25, Mosch. 4, Th. 17, Mosch. 3, Th. 22, 18, 20, 21, Bi. 1, Th. 23, Bi. 2, *Syrinx*, *Ara Dos.*, *Syrinx* (iterum) [recensio Tricliniana] | s. xiv |
| Mosch. | Codd. recensionis Moschopuleae<br>Th. 1–8. Accesserunt in nonnullis codd. Th. 9–18. | ss. xiv, xv |

---

| | | |
|---|---|---|
| Med. | Edit. Mediolanensis Boni Accursii<br>Th. 1–18. | a. 1480 |
| Ald. Ald.² | Editt. Venetae Aldi Manutii<br>Th. 1–18, Mosch. 3, 2, 1, Th. 19, Bi. 1, Th. 20, 21, Mosch. 4, Th. 22, 23, *Syrinx*, *Νεκρ. Ἄδ.* | a. 1495 |
| Iunt. | Edit. Florentina Philippi Iuntae<br>Th. 1, 7, 3–6, 8–13, 2, 14–18, 22, 24, Mosch. 2, Th. $29^{1-25}$, 26, 27, 28, Mosch. 4, Th. 25, 21, 23, 20, Bi. 1, *Νεκρ. Ἄδ.*, Mosch. 3, 1, Th. 19, epigr., *Syrinx*, *Alae*, *Securis* (u.p. vi) | a. 1516 |
| Cal. | Edit. Romana Zachariae Calliergis<br>Th. 1–18, Mosch. 3, 2, 1, Th. 19, Bi. 1, Th. 20, 21, Mosch. 4, Th. 22, 23, *Νεκρ. Ἄδ.*, *Syrinx*, Th. 24–26, 28, $29^{1-25}$, 27, epigr., *Securis*, *Alae*, *Ara Dos.* (u.p. vi) | a. 1516 uel 1517 |
| Non. | Cod. Salmanticensis 295 F. Nonii Pinciani (u.p. vi) | s. xvi |

---

| | |
|---|---|
| codd. | Codices (ei tantum qui in capite Idyllii enumerantur) |
| cett. | Codices ceteri (inter eos tantum qui in capite Idyllii enumerantur) |
| Σ | Scholia (nonnunquam adiuncto codicis siglo, ut ΣK) |
| [Laur.], [Vat.] | Codicum familiae Laurentiana et Vaticana (u.pp. vi sq.) |

*Notae ad siglum antecedens pertinentes.*

| | |
|---|---|
| arg. | Argumentum |
| corr. | Correctus uel correctura |
| u.l. | Varia lectio |

*Virorum doctorum nomina in apparatu decurtata.*

Ahr(ens, H. L.)
B(er)gk (T.)
Buech(eler, F.)
Cas(aubonus, I.)
Edm(onds, J. M.)
Fritz(sche, Th., et in Id. xxx H.)
Gall(avotti, C.)
Hart(ung, C. et J. A.)
Heins(ius, D.)
Hemst(erhusius, T.)
Herm(ann, G.)
Hoffm(ann, O.)
Kiess(ling, G.)
Legr(and, P. E.)
Mein(eke, A.)
Salm(asius, C.)
Scal(iger, J. J.)
Steph(anus, H.)
Valck(enaer, L. K.)
Wakef(ield, G.)
Wil(amowitz-Moellendorff, U. von)
Wint(erton, R.)
Words(worth, C.)
Zieg(ler, C.)

# THEOCRITI CARMINA
# ET
# PSEUDEPIGRAPHA

## ΑΡΤΕΜΙΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

*Ἐπὶ τῇ ἀθροίσει τῶν βουκολικῶν ποιημάτων*

*Βουκολικαὶ Μοῖσαι σποράδες ποκά, νῦν δ' ἅμα πᾶσαι*
*ἐντὶ μιᾶς μάνδρας, ἐντὶ μιᾶς ἀγέλας.*

Anth. Pal. ix. 205. Codd. bucolicorum in prolegomenis traditum.

*Ἄλλος ὁ Χῖος, ἐγὼ δὲ Θεόκριτος ὃς τάδ' ἔγραψα*
*εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρακοσίων,*
*υἱὸς Πραξαγόραο περικλειτᾶς τε Φιλίννας·*
*μοῦσαν δ' ὀθνείαν οὔτιν' ἐφελκυσάμαν.*

Anth. Pal. ix. 434 cum lemmate *τοῦ αὐτοῦ* [sc. *Θεοκρίτου*] *εἰς ἑαυτὸν ὅτι Θεόκριτος Συρακούσιος ἦν.* In codd. bucolicis epigr. priori adhaeret.

1 *τόδ'* Anth. 3 *περικλειτᾶς* Stadtmueller *-τῆς* codd. | *Φιλίννας* Jacobs *-ίν(ν)ης* codd.



# I. ΘΕΟΚΡΙΤΟΥ ΘΥΡΣΙΣ Η ΩΙΔΗ

*ΘΥΡΣΙΣ*

*Ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα,*
*ἁ ποτὶ ταῖς παγαῖσι, μελίσδεται, ἁδὺ δὲ καὶ τύ*
*συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.*
*αἴ κα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ·*
*αἴ κα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταρρεῖ*
*ἁ χίμαρος· χιμάρω δὲ καλὸν κρέας, ἔστε κ' ἀμέλξῃς.*

*ΑΙΠΟΛΟΣ*

*ἅδιον, ὦ ποιμήν, τὸ τεὸν μέλος ἢ τὸ καταχές*
*τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.*
*αἴ κα ταὶ Μοῖσαι τὰν οἴιδα δῶρον ἄγωνται,*
*ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δέ κ' ἀρέσκῃ*
*τήναις ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄιν ὕστερον ἀξῇ.*

*ΘΥΡΣΙΣ*

*λῇς ποτὶ τᾶν Νυμφᾶν, λῇς, αἰπόλε, τεῖδε καθίξας,*
*ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι,*
*συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ.*

*ΑΙΠΟΛΟΣ*

*οὐ θέμις, ὦ ποιμήν, τὸ μεσαμβρινὸν οὐ θέμις ἄμμιν*
*συρίσδεν. τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ' ἄγρας*

Codd. Primarii: K PQW [Laur.] AGS [Vat.]
Papp.: 𝔓1 (132–51) 𝔓3 (1–3, 48–50, 59–65, 100–5, 125–41, 150–2) 𝔓4 (14–19, 27–32, 46–52, 59–65)
Titulus: *Θύρσις ἢ ᾠδή* hyp. et uolgo *ποιμὴν καὶ αἰπόλος* K *Δωρίδι* add. S
2 *αδυ*] *τε* 𝔓3 6 *κρέας* $V^2$ *κρῆς* codd.: cf. 5. 140 7 *ποιμήν* $H^2$ *-μάν* codd. (et in 15) 9 *Μοῖσαι* KAGS *Μῶσαι* PQW, quae uariatio alibi non notatur 11 *ἀξῇ* $S^2$ *ἀξεῖ* G *ἀξῇς, -εῖς* cett. 12 *τεῖδε* Q(?) Ahr. *τῆδε* codd. 13 *ἐς τὸ* WAGS | *αἵ τε* Valck. *ᾇτε* codd. 15 *ἁμῖν* $K^2$

τανίκα κεκμακὼς ἀμπαύεται· ἔστι δὲ πικρός,
καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
ἀλλὰ τὺ γὰρ δή, Θύρσι, τὰ Δάφνιδος ἄλγε' ἀείδες
καὶ τᾶς βουκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μοίσας,
δεῦρ' ὑπὸ τὰν πτελέαν ἑσδώμεθα τῶ τε Πριήπω
καὶ τᾶν κρανίδων κατεναντίον, ᾇπερ ὁ θῶκος
τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ' ἀείσῃς
ὡς ὅκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
ἃ δύ' ἔχοισ' ἐρίφως ποταμέλγεται ἐς δύο πέλλας,
καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέι κηρῷ,
ἀμφῶες, νεοτευχές, ἔτι γλυφάνοιο ποτόσδον.
τῶ ποτὶ μὲν χείλη μαρύεται ὑψόθι κισσός,
κισσὸς ἑλιχρύσῳ κεκονιμένος· ἁ δὲ κατ' αὐτόν
καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
ἔντοσθεν δὲ γυνά, τι θεῶν δαίδαλμα, τέτυκται,
ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι· πὰρ δέ οἱ ἄνδρες
καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
νεικείουσ' ἐπέεσσι· τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς·
ἀλλ' ὅκα μὲν τῆνον ποτιδέρκεται ἄνδρα γέλαισα,
ἄλλοκα δ' αὖ ποτὶ τὸν ῥιπτεῖ νόον· οἱ δ' ὑπ' ἔρωτος
δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
τοῖς δὲ μετὰ γριπεύς τε γέρων πέτρα τε τέτυκται
λεπράς, ἐφ' ᾇ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκει
ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν,

17 ἔστι Stob. 3.20.23 ἔντι codd. | δὲ AGS Stob. γε KPQW 19 δὴ KA ποτε S om. PQWG 20 βωκολικᾶς K et alii, quae uariatio alibi non notatur 23 ποιμενικὸς QW πωμ- cett. 24 ὅκα K ποκα cett. 25 τέ PQW δέ KAG νύ S 26 ποταμέλγεται K -ξεται cett. 27 κηρῷ E καρῷ codd. 29 περὶ PQW 30 κεκονιμένος PW -ισμένος cett. κεκορυθμένος Campbell 36 γέλαισα Wil. -οῖσα KAGS$^{2}$ -ᾶσα PQ$^{2}$ -εῦσα QW -ῶσα S 41 τῶ καρτερῶ KA$^{1}$G$^{1}$





ὧδέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες
καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἅβας.
τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος
περκναῖσι σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά,
τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
ἥμενος· ἀμφὶ δέ νιν δύ' ἀλώπεκες, ἃ μὲν ἀν' ὄρχως
φοιτῇ σινομένα τὰν τρώξιμον, ἃ δ' ἐπὶ πήρᾳ
πάντα δόλον τεύχοισα τὸ παιδίον οὐ πρὶν ἀνησεῖν
φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.
αὐτὰρ ὅγ' ἀνθερίκοισι καλὰν πλέκει ἀκριδοθήραν
σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτε τι πήρας
οὔτε φυτῶν τοσσῆνον ὅσον περὶ πλέγματι γαθεῖ.
παντᾷ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,
αἰπολικὸν θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι.
τῶ μὲν ἐγὼ πορθμῆι Καλυδνίῳ αἶγά τ' ἔδωκα
ὦνον καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος·
οὐδέ τί πω ποτὶ χεῖλος ἐμὸν θίγεν ἀλλ' ἔτι κεῖται
ἄχραντον. τῷ κά τυ μάλα πρόφρων ἀρεσαίμαν
αἴ κά μοι τύ, φίλος, τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
κοὔτι τυ κερτομέω. πόταγ', ὠγαθέ· τὰν γὰρ ἀοιδάν
οὔ τί πᾳ εἰς Ἀίδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.

### ΘΥΡΣΙΣ

Ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιδος ἁδέα φωνά.

44 ἥβας S 46 περκναῖσι Briggs .]ε[ 𝔓4 πυρναίαις codd. 48 νιν Zieg. μιν 𝔓3 codd. 49 πήραν QW 50 κεύθοισα Σ u.l. 51 ἢ suspectum | ἀκρατισμῷ Fritz. e Σ 52 ἀνθερίκοισι K Eust. 1206. 7 -κεσσι cett. | ἀκριδοθήκαν QW 56 αἰολικὸν Σ u.l. Hsch. s.u. | θάημα Porson τι θάημα KAGS τι θάυμα PQW 57 τῷ H τοῦ codd. | πορθμῆι Ahr. -μεῖ, -μῇ codd. | Καλυδνίῳ Σ u.l. Καλυδωνίῳ codd. 58 τυρῶντα Heins. 60 κά Ahr. καί KAGS κέν PQW 61 κά Paris. 2835 κέ(ν) 𝔓4 codd. 62 τυ Iunt. τοι KPQW om. AGS | κερτομέω KAGS φθονέω PQWA$^{2}$G$^{2}$S$^{2}$ 65 ἅδε ἁ P$^{1}$Q$^{2}$W

πᾷ ποκ᾽ ἄρ᾽ ἦσθ᾽, ὅκα Δάφνις ἐτάκετο, πᾷ ποκα, Νύμφαι;
ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ Πίνδω;
οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἴχετ᾽ Ἀνάπω,
οὐδ᾽ Αἴτνας σκοπιάν, οὐδ᾽ Ἄκιδος ἱερὸν ὕδωρ.
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
τῆνον χὠκ δρυμοῖο λέων ἔκλαυσε θανόντα.
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
πολλαὶ δὲ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
ἦνθ᾽ Ἑρμᾶς πράτιστος ἀπ᾽ ὤρεος, εἶπε δὲ ‘Δάφνι,
τίς τυ κατατρύχει; τίνος, ὠγαθέ, τόσσον ἔρασαι;’
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
ἦνθον τοὶ βοῦται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον·
πάντες ἀνηρώτευν τί πάθοι κακόν. ἦνθ᾽ ὁ Πρίηπος
κἤφα ‘Δάφνι τάλαν, τί τὺ τάκεαι; ἁ δέ τυ κώρα
πάσας ἀνὰ κράνας, πάντ᾽ ἄλσεα ποσσὶ φορεῖται—
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς—
ζάτεισ᾽· ἆ δύσερώς τις ἄγαν καὶ ἀμήχανος ἐσσί.
βούτας μὲν ἐλέγευ, νῦν δ᾽ αἰπόλῳ ἀνδρὶ ἔοικας.
ᾡπόλος, ὅκκ᾽ ἐσορῇ τὰς μηκάδας οἷα βατεῦνται,
τάκεται ὀφθαλμὼς ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.
ἄρχετε βουκολικᾶς, Μοῖσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
καὶ τὺ δ᾽ ἐπεί κ᾽ ἐσορῇς τὰς παρθένος οἷα γελᾶντι,

66 ἦθ᾽ QA$^{2}$S   71 ὠδύραντο KG$^{2}$   72 ἂν ἔκλαυσε PAG$^{2}$SΣu.l.   74 παρὰ PAGS   75 δὲ om. Q   δ᾽ αὖ S$^{2}$   78 ἔρασσαι QW   80 τοὶ (alterum) KPQ   χοἰ W   om. AGS   82 τί νυ PQW | τυ Brunck   τι PQW   τοι KAG   γε S   83 πᾶσαν . . . κράναν KP$^{2}$AGS   85 ζάτεισ᾽ ἆ K$^{2}$   ζάτεισα K   ζατοῖσ᾽ ἆ, -τοῖσα cett.   87 βατεῦνται PQW   -τι AGS   -τας K





τάκεαι ὀφθαλμὼς ὅτι οὐ μετὰ ταῖσι χορεύεις.’
τὼς δ᾽ οὐδὲν ποτελέξαθ᾽ ὁ βουκόλος ἀλλὰ τὸν αὐτῶ
ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας.
ἄρχετε βουκολικᾶς, Μοῖσαι, πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
ἦνθέ γε μὰν ἁδεῖα καὶ ἁ Κύπρις γελάοισα,
λάθρη μὲν γελάοισα, βαρὺν δ᾽ ἀνὰ θυμὸν ἔχοισα,
κεἶπε ‘τύ θην τὸν Ἔρωτα κατεύχεο, Δάφνι, λυγιξεῖν·
ἦ ῥ᾽ οὐκ αὐτὸς Ἔρωτος ὑπ᾽ ἀργαλέω ἐλυγίχθης;’
ἄρχετε βουκολικᾶς, Μοῖσαι, πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
τὰν δ᾽ ἄρα χὠ Δάφνις ποταμείβετο· ‘Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής,
ἤδη γὰρ φράσδῃ πάνθ᾽ ἅλιον ἄμμι δεδύκειν;
Δάφνις κἠν Ἀίδα κακὸν ἔσσεται ἄλγος Ἔρωτι.
ἄρχετε βουκολικᾶς, Μοῖσαι, πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
οὐ λέγεται τὰν Κύπριν ὁ βουκόλος; ἕρπε ποτ᾽ Ἴδαν,
ἕρπε ποτ᾽ Ἀγχίσαν· τηνεὶ δρύες ἠδὲ κύπειρος,
αἱ δὲ καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
ἄρχετε βουκολικᾶς, Μοῖσαι, πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
ὡραῖος χὤδωνις, ἐπεὶ καὶ μῆλα νομεύει
καὶ πτῶκας βάλλει καὶ θηρία πάντα διώκει.
ἄρχετε βουκολικᾶς, Μοῖσαι, πάλιν ἄρχετ᾽ ἀοιδᾶς.
αὖτις ὅπως στασῇ Διομήδεος ἆσσον ἰοῖσα,
καὶ λέγε “τὸν βούταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι”.

93 μοῖραν Wil.   94 hinc mutari u. intercalarem indicant Σ. Codd. πάλιν inconstanter a u. 73 inuehunt   95 ἁ δῖα Σ u.l.   97 κἤφα τί θ. PQW | κατ᾽ εὔχεο C.F.Herm. | λυγιζῆν K   98 ἦ ῥ᾽ KQ   ἆρ᾽ cett.   100 ποταμείψατο QA   102 φράσδῃ K$^{2}$G$^{2}$   -δει cett. | πα]ντ᾽ 𝔓3 | ἅλιον 𝔓3K$^{1}$   -ος cett. | ἀμμε 𝔓3   103 Ἔρωτος QAG$^{2}$S   104 Μουσαι φιλαι 𝔓3   105 οὐ Graefe   οὗ codd. Σ   106 κύπειρον QWG$^{1}$S$^{1}$ | ἠδὲ Mein. e Plut. *Quaest. Nat.* 36   ὧδε codd.: cf. 5. 45   107 αἱ δὲ Mein.   ὧδε codd.   108 om. KPQWA$^{1}$G$^{1}$   109 μῆλα Ahr.   μᾶλα codd.   110 τἄλλα δ. PQWG

ἄρχετε βουκολικᾶς, Μοῖσαι, πάλιν ἄρχετ' ἀοιδᾶς.
ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι,
χαίρεθ'· ὁ βουκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκέτ' ἀν' ὕλαν,
οὐκέτ' ἀνὰ δρυμώς, οὐκ ἄλσεα. χαῖρ', Ἀρέθοισα,
καὶ ποταμοὶ τοὶ χεῖτε καλὸν κατὰ Θύβριδος ὕδωρ.

ἄρχετε βουκολικᾶς, Μοῖσαι, πάλιν ἄρχετ' ἀοιδᾶς.

Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.

ἄρχετε βουκολικᾶς, Μοῖσαι, πάλιν ἄρχετ' ἀοιδᾶς.

ὦ Πὰν Πάν, εἴτ' ἐσσὶ κάτ' ὤρεα μακρὰ Λυκαίω,
εἴτε τύγ' ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ' ἐπὶ νᾶσον
τὰν Σικελάν, Ἑλίκας δὲ λίπε ῥίον αἰπύ τε σᾶμα
τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγητόν.

λήγετε βουκολικᾶς, Μοῖσαι, ἴτε λήγετ' ἀοιδᾶς.

ἔνθ', ὦναξ, καὶ τάνδε φέρευ πακτοῖο μελίπνουν
ἐκ κηρῶ σύριγγα καλὸν περὶ χεῖλος ἑλικτάν·
ἦ γὰρ ἐγὼν ὑπ' Ἔρωτος ἐς Ἅιδαν ἕλκομαι ἤδη.

λήγετε βουκολικᾶς, Μοῖσαι, ἴτε λήγετ' ἀοιδᾶς.

νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι,
ἁ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι,
πάντα δ' ἄναλλα γένοιτο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει, καὶ τὰς κύνας ὥλαφος ἕλκοι,
κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.'

λήγετε βουκολικᾶς, Μοῖσαι, ἴτε λήγετ' ἀοιδᾶς.

χὢ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δ' Ἀφροδίτα
ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει

114 post 115 habent PQW     118 *Θύβριδος* PQNΣu.l.   *Θύμβρ-* WAGSΣu.l.   *Δύβρ-* KΣu.l.     128 *φέρευ πακτοῖο* Σu.l.   *φέρ' εὐπ-* codd.     129 *καλὸν* Fritz.   *=λὰν* codd.     130 *Ἄιδος* $S^2$     132 *νῦν* 𝔓1 PQW *νῦν δ'* KAGS     134 *ἄναλλα* 𝔓1 $PQ^1W$   *ἔν-* cett.     135 *τὰς* 𝔓1 W   *τὼς* cett.     136 *αηδονι* 𝔓1 | *δηρίσαιντο* Scal.     138 *ἀνεπαύσατο* 𝔓1 $QW^2$





ἐκ Μοιρᾶν, χὼ Δάφνις ἔβα ῥόον. ἔκλυσε δίνα
τὸν Μοίσαις φίλον ἄνδρα, τὸν οὐ Νύμφαισιν ἀπεχθῆ.

λήγετε βουκολικᾶς, Μοῖσαι, ἴτε λήγετ' ἀοιδᾶς.

καὶ τὺ δίδου τὰν αἶγα τό τε σκύφος ὥς κεν ἀμέλξας
σπείσω ταῖς Μοίσαις. ὦ χαίρετε πολλάκι, Μοῖσαι,
χαίρετ'· ἐγὼ δ' ὔμμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.

ΑΙΠΟΛΟΣ

πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα, Θύρσι, γένοιτο,
πλῆρες δὲ σχαδόνων, καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
ἁδεῖαν, τέττιγος ἐπεὶ τύγα φέρτερον ᾄδεις.
ἠνίδε τοι τὸ δέπας· θᾶσαι, φίλος, ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαι νιν ἐπὶ κράναισι δοκησεῖς.
ὧδ' ἴθι, Κισσαίθα· τὺ δ' ἄμελγέ νιν. αἱ δὲ χίμαιραι,
οὐ μὴ σκιρτασῆτε, μὴ ὁ τράγος ὔμμιν ἀναστῇ.

# II. ΘΕΟΚΡΙΤΟΥ ΦΑΡΜΑΚΕΥΤΡΙΑ

Πᾷ μοι ταὶ δάφναι; φέρε, Θεστυλί. πᾷ δὲ τὰ φίλτρα;
στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ,
ὡς τὸν ἐμὸν βαρὺν εὖντα φίλον καταδήσομαι ἄνδρα,
ὅς μοι δωδεκαταῖος ἀφ' ὦ τάλας οὐδὲ ποθίκει,
οὐδ' ἔγνω πότερον τεθνάκαμες ἢ ζοοὶ εἰμές,
οὐδὲ θύρας ἄραξεν ἀνάρσιος. ἦ ῥά οἱ ἀλλᾷ

143 *κεν* KAS   *μιν, νιν* cett.     145 *υμι[ν* 𝔓1     147 *δὲ* 𝔓1 PQW   *τοι* KAGS Gal. 8. 971     148 *τύγα* KQ   *τύγε* cett.     151 *Κιναίθα* Σ u.l.: cf. 4. 46, 5. 102     152 *σκιρτασεῖτε* Porson

---

Codd. Primarii: K   W [Laur.]   ANS [Vat.]
Pap.: 𝔓3 fere integra
Titulus: *Φαρμακεύτρια* 𝔓3 NGP Seru. ad Verg. *E.* 8. 1   *-ιαι* KAS Ath. 11. 475 E Eust. 1767.20   *Δωρίδι* add. 𝔓3 KAGP
3 *ἐμοὶ* Steph. | *βαρὺν εὖντα* Steph.   *βαρυνεῦντα* codd. | *καταδήσομαι* 𝔓3 Toup e Σ: item 10 et 159   *καταθύσ-* codd.     4 *τάλαν* 𝔓3 $WANS^1$ | *(ποθ') ἵκει* K   *ἥκει* 𝔓3 cett.     5 *ζοοὶ* 𝔓3 S   *ζωοὶ* cett.

ᾤχετ' ἔχων ὅ τ' Ἔρως ταχινὰς φρένας ἅ τ' Ἀφροδίτα.
βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν
αὔριον ὥς νιν ἴδω, καὶ μέμψομαι οἷά με ποιεῖ.
νῦν δέ νιν ἐκ θυέων καταδήσομαι. ἀλλά, Σελάνα,
φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι ἄσυχα, δαῖμον,
τᾷ χθονίᾳ θ' Ἑκάτᾳ, τὰν καὶ σκύλακες τρομέοντι
ἐρχομέναν νεκύων ἀνά τ' ἠρία καὶ μέλαν αἷμα.
χαῖρ', Ἑκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμμιν ὀπάδει,
φάρμακα ταῦτ' ἔρδοισα χερείονα μήτε τι Κίρκας
μήτε τι Μηδείας μήτε ξανθᾶς Περιμήδας.

Ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

ἄλφιτά τοι πρᾶτον πυρὶ τάκεται. ἀλλ' ἐπίπασσε,
Θεστυλί. δειλαία, πᾷ τὰς φρένας ἐκπεπότασαι;
ἦ ῥά γέ θην, μυσαρά, καὶ τὶν ἐπίχαρμα τέτυγμαι;
πάσσ' ἅμα καὶ λέγε ταῦτα· 'τὰ Δέλφιδος ὀστία πάσσω'.

Ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Δέλφις ἔμ' ἀνίασεν· ἐγὼ δ' ἐπὶ Δέλφιδι δάφναν
αἴθω· χὡς αὕτα λακεῖ μέγα καππυρίσασα
κἠξαπίνας ἄφθη κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς,
οὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ' ἀμαθύνοι.

27 Ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

33 νῦν θυσῶ τὰ πίτυρα. τὺ δ', Ἄρτεμι, καὶ τὸν ἐν Ἅιδα
κινήσαις ἀδάμαντα καὶ εἴ τί περ ἀσφαλὲς ἄλλο—
Θεστυλί, ταὶ κύνες ἄμμιν ἀνὰ πτόλιν ὠρύονται·
ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκέον ὡς τάχος ἄχει.

Ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

ἠνίδε σιγῇ μὲν πόντος, σιγῶντι δ' ἀῆται·

10 εκ θυμου 𝔓3 18 κάεται Σ u.l. 19 πη (ex πει ut uid.) 𝔓3 20 θην 𝔓3 τοι codd. 24 κως 𝔓3 | λακῆ 𝔓3 ANS | καπ(π)υρίσασα codd. κακπυρ- Et.M. 250.37 κακκ. πυρ- 𝔓3 25 εἴδομες 𝔓3KS² εἴλομεν WANS 28–32 post 42 habent 𝔓3 K 34 ῥ' ἀδάμαντα WANS 35 ὠρύοντι K 36 χαλκίον K





ἁ δ' ἐμὰ οὐ σιγῇ στέρνων ἔντοσθεν ἀνία,
ἀλλ' ἐπὶ τήνῳ πᾶσα καταίθομαι ὅς με τάλαιναν
ἀντὶ γυναικὸς ἔθηκε κακὰν καὶ ἀπάρθενον ἦμεν.

Ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

28 ὡς τοῦτον τὸν κηρὸν ἐγὼ σὺν δαίμονι τάκω,
29 ὣς τάκοιθ' ὑπ' ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις.
30 χὡς δινεῖθ' ὅδε ῥόμβος ὁ χάλκεος ἐξ Ἀφροδίτας,
31 ὣς τῆνος δινοῖτο ποθ' ἁμετέραισι θύραισιν.

32 Ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

43 ἐς τρὶς ἀποσπένδω καὶ τρὶς τάδε, πότνια, φωνῶ·
εἴτε γυνὰ τήνῳ παρακέκλιται εἴτε καὶ ἀνήρ,
τόσσον ἔχοι λάθας ὅσσον ποκὰ Θησέα φαντί
ἐν Δίᾳ λασθῆμεν ἐυπλοκάμω Ἀριάδνας.

Ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

ἱππομανὲς φυτόν ἐστι παρ' Ἀρκάσι, τῷ δ' ἔπι πᾶσαι
καὶ πῶλοι μαίνονται ἀν' ὤρεα καὶ θοαὶ ἵπποι·
ὣς καὶ Δέλφιν ἴδοιμι, καὶ ἐς τόδε δῶμα περάσαι
μαινομένῳ ἴκελος λιπαρᾶς ἔκτοσθε παλαίστρας.

Ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

τοῦτ' ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,
ὡγὼ νῦν τίλλοισα κατ' ἀγρίῳ ἐν πυρὶ βάλλω.
αἰαῖ Ἔρως ἀνιαρέ, τί μευ μέλαν ἐκ χροὸς αἷμα
ἐμφὺς ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;

Ἶυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

σαύραν τοι τρίψαισα κακὸν ποτὸν αὔριον οἰσῶ.
Θεστυλί, νῦν δὲ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ' ὑπόμαξον
τᾶς τήνω φλιᾶς καθ' ὑπέρτερον ἇς ἔτι καὶ νύξ,

31 ποτ' 𝔓3 M | ἁμετέραισι Brunck -ησι 𝔓3 codd. 43 και ες τρις 𝔓3 46 λασθῆμεν K λαθῆμεν A -μες W λελαθῆμεν NS 51 ἴκελος 𝔓3 K -ον WANS 57 om. 𝔓3 58 τριψαισα 𝔓3 -ασα codd. 59 ἀπόμορξον Σ u.l. 60 φιλίας 𝔓3 ante corr. Σ u.l. | νύξ Buech. νῦν 𝔓3 codd.

[ἐκ θυμῶ δέδεμαι· ὃ δέ μευ λόγον οὐδένα ποιεῖ]
καὶ λέγ' ἐπιτρύζοισα 'τὰ Δέλφιδος ὀστία μάσσω'.
ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Νῦν δὴ μώνα ἐοῖσα πόθεν τὸν ἔρωτα δακρύσω;
ἐκ τίνος ἄρξωμαι; τίς μοι κακὸν ἄγαγε τοῦτο;
ἦνθ' ἁ τωὐβούλοιο καναφόρος ἄμμιν Ἀναξὼ
ἄλσος ἐς Ἀρτέμιδος, τᾷ δὴ τόκα πολλὰ μὲν ἄλλα
θηρία πομπεύεσκε περισταδόν, ἐν δὲ λέαινα.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

καί μ' ἁ Θευμαρίδα Θρᾷσσα τροφός, ἁ μακαρῖτις,
ἀγχίθυρος ναίοισα κατεύξατο καὶ λιτάνευσε
τὰν πομπὰν θάσασθαι· ἐγὼ δέ οἱ ἁ μεγάλοιτος
ὡμάρτευν βύσσοιο καλὸν σύροισα χιτῶνα
κἀμφιστειλαμένα τὰν ξυστίδα τὰν Κλεαρίστας.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

ἤδη δ' εὖσα μέσαν κατ' ἀμαξιτόν, ᾇ τὰ Λύκωνος,
εἶδον Δέλφιν ὁμοῦ τε καὶ Εὐδάμιππον ἰόντας·
τοῖς δ' ἦς ξανθοτέρα μὲν ἑλιχρύσοιο γενειάς,
στήθεα δὲ στίλβοντα πολὺ πλέον ἢ τύ, Σελάνα,
ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιπόντων.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

χὡς ἴδον ὣς ἐμάνην, ὥς μοι πυρὶ θυμὸς ἰάφθη
δειλαίας, τὸ δὲ κάλλος ἐτάκετο. οὐκέτι πομπᾶς

61 om. 𝔓3 K | ἐκ W ἐν ANS | δέδεμαι NS -ευμαι W δαίδευμαι A 62 επιτρυζοισα 𝔓3 (agnosc. Σ) ἐπιφθύζ- codd. | μάσσω Ahlwardt πάσσω codd. καιω 𝔓3 65 τίνος 𝔓3 WANS τήνω δ' K | ἄρξωμαι 𝔓3 S ἄρξομαι N ἄρξομ' ἐγώ WA ἄρξω K 67 και ex τα 𝔓3 | τόκα Cas. ποκα 𝔓3 codd. 68 λέαιναι 𝔓3 70 Θευχαρίλα Mosch. τωὑμαρίδα Gall. 72 θάσασθαι 𝔓3 NS$^2$ θεάσ- KWA | μεγάλατος Maas 74 ἀμφι-στειλαμένα NS | τὰν Κλ. KA τᾶς Κλ. 𝔓3 WA$^2$NS 76 μέσον KWA 79 τὺ Σελάνα 𝔓3 K τὸ Σελάνας WANS 82 μευ 𝔓3 N | πυρὶ 𝔓3 περὶ codd. 83 ουκετι 𝔓3 κοὐκέτι D κοὔτε τι Mosch. κοὐδέ τι codd.





τήνας ἐφρασάμαν, οὐδ' ὡς πάλιν οἴκαδ' ἀπῆνθον
ἔγνων, ἀλλά μέ τις καπυρὰ νόσος ἐξεσάλαξεν,
κείμαν δ' ἐν κλιντῆρι δέκ' ἄματα καὶ δέκα νύκτας.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θάψῳ,
ἔρρευν δ' ἐκ κεφαλᾶς πᾶσαι τρίχες, αὐτὰ δὲ λοιπά
ὀστί' ἔτ' ἦς καὶ δέρμα. καὶ ἐς τίνος οὐκ ἐπέρασα
ἢ ποίας ἔλιπον γραίας δόμον ἅτις ἐπᾷδεν;
ἀλλ' ἦς οὐδὲν ἐλαφρόν, ὁ δὲ χρόνος ἄνυτο φεύγων.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

χοὔτω τᾷ δώλᾳ τὸν ἀλαθέα μῦθον ἔλεξα·
'εἰ δ' ἄγε, Θεστυλί, μοι χαλεπᾶς νόσω εὑρέ τι μᾶχος.
πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος· ἀλλὰ μολοῖσα
τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν·
τηνεὶ γὰρ φοιτῇ, τηνεὶ δέ οἱ ἁδὺ καθῆσθαι.
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

κἠπεί κά νιν ἐόντα μάθῃς μόνον, ἅσυχα νεῦσον,
κεἴφ' ὅτι "Σιμαίθα τυ καλεῖ", καὶ ὑφαγέο τεῖδε'.
ὣς ἐφάμαν· ἁ δ' ἦνθε καὶ ἄγαγε τὸν λιπαρόχρων
εἰς ἐμὰ δώματα Δέλφιν· ἐγὼ δέ νιν ὡς ἐνόησα
ἄρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ—
φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα—

πᾶσα μὲν ἐψύχθην χιόνος πλέον, ἐκ δὲ μετώπω
ἱδρώς μευ κοχύδεσκεν ἴσον νοτίαισιν ἐέρσαις,
οὐδέ τι φωνῆσαι δυνάμαν, οὐδ' ὅσσον ἐν ὕπνῳ

85 ἐξεσάλαξεν 𝔓3 Σ u.l. ἐξαλάπαξεν codd. 89 ἔρρεν δ' K ερ[ρ]εν τ' 𝔓3 95 ειτ' 𝔓3 101 ὑφαγέο Mosch. ἀφ- 𝔓3 codd. | τειδε 𝔓3 τωδε 𝔓3 supraNS τᾷδε KWA 106 ἐκ 𝔓3 WANS ἐν K 107 μευ 𝔓3corr.KNS μὲν 𝔓3 WA | κοχύδεσκεν 𝔓3 K Eust.1095.29 -ύεσκεν WANS 108 φωνῆσαι H$^2$ -ᾶσαι 𝔓3 codd.

κνυζεῦνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα·
ἀλλ' ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἴσα.

φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

καί μ' ἐσιδὼν ὤστοργος ἐπὶ χθονὸς ὄμματα πάξας
ἕζετ' ἐπὶ κλιντῆρι καὶ ἑζόμενος φάτο μῦθον·
'ἦ ῥά με, Σιμαίθα, τόσον ἔφθασας, ὅσσον ἐγώ θην
πρᾶν ποκα τὸν χαρίεντα τράχων ἔφθασσα Φιλῖνον,
ἐς τὸ τεὸν καλέσασα τόδε στέγος ἢ 'μὲ παρῆμεν.

φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

ἦνθον γάρ κεν ἐγώ, ναὶ τὸν γλυκὺν ἦνθον Ἔρωτα,
ἢ τρίτος ἠὲ τέταρτος ἐὼν φίλος αὐτίκα νυκτός,
μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,
κρατὶ δ' ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος,
πάντοθι πορφυρέαισι περὶ ζώστραισιν ἑλικτάν.

φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

καί κ', εἰ μέν μ' ἐδέχεσθε, τάδ' ἧς φίλα (καὶ γὰρ ἐλαφρός
καὶ καλὸς πάντεσσι μετ' αἰθέοισι καλεῦμαι),
εὗδόν τ' εἴ κε μόνον τὸ καλὸν στόμα τεῦς ἐφίλησα·
εἰ δ' ἄλλᾳ μ' ὠθεῖτε καὶ ἁ θύρα εἴχετο μοχλῷ,
πάντως κα πελέκεις καὶ λαμπάδες ἦνθον ἐφ' ὑμέας.

φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

νῦν δὲ χάριν μὲν ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν,
καὶ μετὰ τὰν Κύπριν τύ με δευτέρα ἐκ πυρὸς εἷλευ,
ὦ γύναι, ἐσκαλέσαισα τεὸν ποτὶ τοῦτο μέλαθρον

109 *κνυζεῦνται* 𝔓3 KAN -*εῦντα* WS -*ῶνται* S²: cf. 6. 30 112 *πάξας* Paris. 2512 *πήξας* 𝔓3 codd. 115 *τράχων* 𝔓3 corr. *τρέχων* 𝔓3 codd.: cf. 147 | *ἔφθασσα* S -*ασα* 𝔓3 N -*αξα* KWA 118 *κεν ἐγώ* Non. *και εγω* 𝔓3 *κἀγώ, κἠγώ, κἠγών* codd. 122 *πάντοθι* 𝔓3 NS -*θε(ν)* KWA 124 *κ' εἰ μέν μ' ἐδ.* Ahr. ]*μ εδ.* 𝔓3 *μ' εἰ μέν κ' ἐδ.* codd. | *ἧς* codd. *ως* 𝔓3 125 *αἰθέοισι* Wil. *ἠιθ-* codd. 126 *τ' εἴ* KNS *δ' εἴ* WA 128 *κα* Ahr. *καὶ* 𝔓3 codd. 129, 130 transp. 𝔓3 131 *ειλε* 𝔓3 132 ]*καλεσαισα* 𝔓3 -*ασα* codd.





αὔτως ἡμίφλεκτον· Ἔρως δ' ἄρα καὶ Λιπαραίω
πολλάκις Ἁφαίστοιο σέλας φλογερώτερον αἴθει·

φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.

σὺν δὲ κακαῖς μανίαις καὶ παρθένον ἐκ θαλάμοιο
καὶ νύμφαν ἐφόβησ' ἔτι δέμνια θερμὰ λιποῖσαν
ἀνέρος'. ὣς ὃ μὲν εἶπεν· ἐγὼ δέ νιν ἁ ταχυπειθής
χειρὸς ἐφαψαμένα μαλακῶν ἔκλιν' ἐπὶ λέκτρων·
καὶ ταχὺ χρὼς ἐπὶ χρωτὶ πεπαίνετο, καὶ τὰ πρόσωπα
θερμότερ' ἧς ἢ πρόσθε, καὶ ἐψιθυρίσδομες ἁδύ.
ὡς καί τοι μὴ μακρὰ φίλα θρυλέοιμι Σελάνα,
ἐπράχθη τὰ μέγιστα καὶ ἐς πόθον ἤνθομες ἄμφω.
κοὔτε τι τῆνος ἐμὶν ἀπεμέμψατο μέσφα τό γ' ἐχθές,
οὔτ' ἐγὼ αὖ τήνῳ. ἀλλ' ἦνθέ μοι ἅ τε Φιλίστας
μάτηρ τᾶς ἁμᾶς αὐλητρίδος ἅ τε Μελιξοῦς
σάμερον, ἀνίκα πέρ τε ποτ' ὠρανὸν ἔτραχον ἵπποι
Ἀῶ τὰν ῥοδόεσσαν ἀπ' ὠκεανοῖο φέροισαι,
κεἶπέ μοι ἄλλα τε πολλὰ καὶ ὡς ἄρα Δέλφις ἔραται.
κεἴτε νιν αὖτε γυναικὸς ἔχει πόθος εἴτε καὶ ἀνδρός,
οὐκ ἔφατ' ἀτρεκὲς ἴδμεν, ἀτὰρ τόσον· αἰὲν Ἔρωτος
ἀκράτω ἐπεχεῖτο καὶ ἐς τέλος ᾤχετο φεύγων,
καὶ φάτο οἱ στεφάνοισι τὰ δώματα τῆνα πυκαξεῖν.
ταῦτά μοι ἁ ξείνα μυθήσατο, ἔστι δ' ἀλαθής.
ἦ γάρ μοι καὶ τρὶς καὶ τετράκις ἄλλοκ' ἐφοίτη,
καὶ παρ' ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὄλπαν·

133 *Λιπαραίω* Valck. -*ραίου* codd. -*ρη*[ 𝔓3 134 *φοβερωτερον* 𝔓3 138 *νιν* scripsi *μιν* 𝔓3 *οἱ* codd. 139 *εκαθημ' επι* 𝔓3 141 *θερμότερον πυρὸς ἦθε* Platt | *ἁδύ* KWAS *ηδη* 𝔓3 *ἀεί* N 142 *ὡς* 𝔓3 KW *χὡς* ANS | *καί* S *κά* KWAN *κεν* 𝔓3 | *θρέοιμ' ω Σελ.* 𝔓3 *θρυλέωμι* Herm. 144 *κοὔτε τι* 𝔓3 Mosch. *κοὐκέτι* codd. | *ἀπεμέμψατο* 𝔓3 V² *ἀπεπέμ-* KWAN *ἐπεμέμ-* S | *τό γ'* Paris. 2758 *τύγ'* KW *τόδ* 𝔓3 *τοι* ANS 146 *ἁμᾶς* 𝔓3 S *ἐμᾶς* KWAN 147 *περ τοι* 𝔓3 corr. *τοι τε* 𝔓3 | *ἔτραχον* 𝔓3 corr. KW *ἔτρεχον* 𝔓3 ANS: cf. 115 148 *ροδοεσσαν* 𝔓3 *ῥοδόπαχυν* codd. 149 *ερᾶται* 𝔓3 152 *ακρατως* 𝔓3 corr. 153 *πυκαξεῖν* Edm. -*άσδεν* codd. -*ασθην* 𝔓3 155 *η* (*δη* add. supr.) *γαρ μοι τρις* 𝔓3

*νῦν δέ τε δωδεκαταῖος ἀφ᾽ ὧτέ νιν οὐδὲ ποτεῖδον.*
*ἦ ῥ᾽ οὐκ ἄλλο τι τερπνὸν ἔχει, ἁμῶν δὲ λέλασται;*
*νῦν μὲν τοῖς φίλτροις καταδήσομαι· αἰ δ᾽ ἔτι κά με*
*λυπῇ, τὰν Ἀίδαο πύλαν, ναὶ Μοίρας, ἀραξεῖ·*
*τοῖά οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν,*
*Ἀσσυρίω, δέσποινα, παρὰ ξείνοιο μαθοῖσα.*
*ἀλλὰ τὺ μὲν χαίροισα ποτ᾽ ὠκεανὸν τρέπε πώλως,*
*πότνι᾽· ἐγὼ δ᾽ οἰσῶ τὸν ἐμὸν πόθον ὥσπερ ὑπέσταν.*
*χαῖρε, Σελαναία λιπαρόθρονε, χαίρετε δ᾽ ἄλλοι*
*ἀστέρες, εὐκάλοιο κατ᾽ ἄντυγα Νυκτὸς ὀπαδοί.*

# III. ΘΕΟΚΡΙΤΟΥ ΚΩΜΟΣ

*Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα, ταὶ δέ μοι αἶγες*
*βόσκονται κατ᾽ ὄρος, καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει.*
*Τίτυρ᾽, ἐμὶν τὸ καλὸν πεφιλημένε, βόσκε τὰς αἶγας,*
*καὶ ποτὶ τὰν κράναν ἄγε, Τίτυρε· καὶ τὸν ἐνόρχαν,*
*τὸν Λιβυκὸν κνάκωνα, φυλάσσεο μή τυ κορύψῃ.*

*Ὦ χαρίεσσ᾽ Ἀμαρυλλί, τί μ᾽ οὐκέτι τοῦτο κατ᾽ ἄντρον*
*παρκύπτοισα καλεῖς, τὸν ἐρωτύλον; ἦ ῥά με μισεῖς;*
*ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν ἦμεν,*
*νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποησεῖς.*
*ἠνίδε τοι δέκα μᾶλα φέρω· τηνῶθε καθεῖλον*
*ὧ μ᾽ ἐκέλευ καθελεῖν τύ, καὶ αὔριον ἄλλα τοι οἰσῶ.*

157 *δέ τε* codd. *μαν* 𝔓3 159 *μὲν* ANS *μὰν* 𝔓3 KW | *κα με* 𝔓3 *κἠμέ* codd. 161 *φυλαξ..ν* 𝔓3 163 *πώλως* Ahr. *-ους* 𝔓3 codd. 164 *πόθον* 𝔓3 K *πόνον* cett.: cf. 22. 187 165 *λιπαροθρονε* 𝔓3 *-όχροε* codd.

Codd. Primarii: K PQW [Laur.] AGNU [Vat.]
Pap.: 𝔓1 (11–21, 34–46, 52–fin.)
Titulus: *Κῶμος* A *Ἀμαρυλλὶς ἢ αἰπόλος ἢ κωμαστής* PG praefixo *κῶμος* US *Αἰπόλος ἢ Ἀμαρυλλίς Σ* Vat. Arg. *Αἰπολικὸν ἢ Ἀμαρυλλίς* K
3 *πεφιλημένε* Gell. 9. 9 *-αμένε* codd. 4 *ἐνόρχαν* (*ἡμιτομίαν*) *Σ* u.l. 5 *τυ* codd. *τι Σ* lemma Fauorin. s.u. *κορύψῃ* 10 *τηνῶ δὲ* PQW





*θᾶσαι μάν. θυμαλγὲς ἐμὶν ἄχος. αἴθε γενοίμαν*
*ἁ βομβεῦσα μέλισσα καὶ ἐς τεὸν ἄντρον ἱκοίμαν,*
*τὸν κισσὸν διαδὺς καὶ τὰν πτέριν ἅ τυ πυκάσδει.*
*νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦ ῥα λεαίνας*
*μαζὸν ἐθήλαζεν, δρυμῷ τέ νιν ἔτραφε μάτηρ,*
*ὅς με κατασμύχων καὶ ἐς ὀστίον ἄχρις ἰάπτει.*
*ὦ τὸ καλὸν ποθορεῦσα, τὸ πᾶν λίθος, ὦ κυάνοφρυ*
*νύμφα, πρόσπτυξαί με τὸν αἰπόλον ὥς τυ φιλήσω.*
*ἔστι καὶ ἐν κενεοῖσι φιλήμασιν ἁδέα τέρψις.*
*τὸν στέφανον τῖλαί με κατ᾽ αὐτίκα λεπτὰ ποησεῖς,*
*τόν τοι ἐγών, Ἀμαρυλλὶ φίλα, κισσοῖο φυλάσσω,*
*ἀμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις.*

*ὤμοι ἐγών, τί πάθω, τί ὁ δύσσοος; οὐχ ὑπακούεις.*

*τὰν βαίταν ἀποδὺς ἐς κύματα τηνῶ ἁλεῦμαι,*
*ὧπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς·*
*καἴ κα δὴ ᾽ποθάνω, τό γε μὲν τεὸν ἁδὺ τέτυκται.*
*ἔγνων πρᾶν, ὅκα μοι, μεμναμένῳ εἰ φιλέεις με,*
*οὐδὲ τὸ τηλέφιλον ποτεμάξατο τὸ πλατάγημα,*
*ἀλλ᾽ αὔτως ἁπαλῷ ποτὶ πάχεϊ ἐξεμαράνθη.*
*εἶπε καὶ Ἀγροιὼ τἀλαθέα κοσκινόμαντις,*
*ἁ πρᾶν ποιολογεῦσα παραιβάτις, οὕνεκ᾽ ἐγὼ μέν*
*τὶν ὅλος ἔγκειμαι τὺ δέ μευ λόγον οὐδένα ποιῇ.*
*ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα φυλάσσω,*
*τάν με καὶ ἁ Μέρμνωνος ἐριθακὶς ἁ μελανόχρως*
*αἰτεῖ· καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.*

12 *ἐμὶν* 𝔓1 *ἐμὸν* codd. 14 *πυκάσδει* Q *-δῃ* cett. 16 *μαζὸν* Thom. Mag. s.u. *μαστός* *μασδὸν* codd. *μαστὸν* Stob. 4. 20. 60: cf. 48 | *ἐθήλαξε* Stob. | *νιν* Stob. *μιν* codd. | *ἔτραφε* 𝔓1 A Stob. *ἔτρεφε* cett. 17 *ὀστίον* Bgk *-έον* codd. | *ἰάπτει* 𝔓1 KAGNU *ἱκάνει* PQW 18 *λίπος, ἔπος Σ* uu.ll. 19 *φιλήσω* Ahr. *-άσω* codd. 23 *ἐμπλέξας* ANU 24 *ὑπακούει* Herm. 25 *τῆνα* ANU *-νῶθεν* G 27 *δὴ* Graefe *μὴ* codd. | *μὲν* Denniston *μὰν* codd. (*θὰν* K) 28 *ὅκα μοι* Greverus *ὄκ᾽ ἔμοιγε* KQW *ὅκα μευ* AGNU *ὅτ᾽ ἔμευ* P 30 *πάχει* Mosch. *-εος* codd. 31 *ἁ Γροιὼ Σ* u.l. 32 *πρὶν* K 35 *καλα Μερμ.* 𝔓1 ante corr.

ἅλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἆρά γ' ἰδησῶ
αὐτάν; ᾀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς,
καί κέ μ' ἴσως ποτίδοι ἐπεὶ οὐκ ἀδαμαντίνα ἐστίν.
'Ιππομένης, ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
μᾶλ' ἐν χερσὶν ἑλὼν δρόμον ἄνυεν· ἁ δ' Ἀταλάντα
ὡς ἴδεν ὣς ἐμάνη, ὣς ἐς βαθὺν ἅλατ' ἔρωτα.
τὰν ἀγέλαν χὡ μάντις ἀπ' Ὄθρυος ἆγε Μελάμπους
ἐς Πύλον· ἁ δὲ Βίαντος ἐν ἀγκοίναισιν ἐκλίνθη
μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίας.
τὰν δὲ καλὰν Κυθέρειαν ἐν ὤρεσι μῆλα νομεύων
οὐχ οὕτως Ὤδωνις ἐπὶ πλέον ἄγαγε λύσσας
ὥστ' οὐδὲ φθίμενόν νιν ἄτερ μαζοῖο τίθητι;
ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
'Ενδυμίων· ζαλῶ δέ, φίλα γύναι, 'Ιασίωνα,
ὃς τόσσων ἐκύρησεν ὅσ' οὐ πευσεῖσθε βέβαλοι.

Ἀλγέω τὰν κεφαλάν, τὶν δ' οὐ μέλει. οὐκέτ' ἀείδω,
κεισεῦμαι δὲ πεσών, καὶ τοὶ λύκοι ὧδέ μ' ἔδονται.
ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο.

# IV. ΘΕΟΚΡΙΤΟΥ ΝΟΜΕΙΣ

*ΒΑΤΤΟΣ*

Εἰπέ μοι, ὦ Κορύδων, τίνος αἱ βόες; ἦ ῥα Φιλώνδα;

*ΚΟΡΥΔΩΝ*

οὔκ, ἀλλ' Αἴγωνος· βόσκειν δέ μοι αὐτὰς ἔδωκεν.
ΒΑ. ἦ πᾳ ψε κρύβδαν τὰ ποθέσπερα πάσας ἀμέλγες;

39 ἀδαμάντινος 𝔓1 ante corr. 42 ἅλατ' Hemst. ἅλλατ' K Tzetz. *Chil.* 12. 948 ἅλ(λ)ετ' cett. 44 ἀγκοίναισιν Wint. -ῃσιν codd. 51 τοσσῆν' P 53 ἔδονται US Greg. Cor. 73 -οντι cett.

Codd. Primarii: K PQW [Laur.] AGU [Vat.]
Papp.: 𝔓1 (8–11, 56–fin.), 𝔓4 (34–38)
Titulus: *Νομεῖς* K (supra schol.) G *Βουκολιασταὶ ἢ νομεῖς* PS *εἰς Κορύδωνα ἢ νομεῖς ἢ φιλαλήθης ἢ Βάττος* P(arg.)U *Αἴγων* Σ 3.1 K in textu tit. Id. 5 huc translatum expunxit.
1 τίνες KWA 3 ἀμέλγεις PU





ΚΟ. ἀλλ' ὁ γέρων ὑφίητι τὰ μοσχία κἠμὲ φυλάσσει.
ΒΑ. αὐτὸς δ' ἐς τίν' ἄφαντος ὁ βουκόλος ᾤχετο χώραν;
ΚΟ. οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν ᾤχετο Μίλων.
ΒΑ. καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπει;
ΚΟ. φαντί νιν 'Ηρακλῆι βίην καὶ κάρτος ἐρίσδειν.
ΒΑ. κῆμ' ἔφαθ' ἁ μάτηρ Πολυδεύκεος ἦμεν ἀμείνω.
ΚΟ. κὤχετ' ἔχων σκαπάναν τε καὶ εἴκατι τουτόθε μῆλα
ΒΑ. πείσαι κα Μίλων καὶ τὼς λύκος αὐτίκα λυσσῆν.
ΚΟ. ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι αἴδε ποθεῦντι.
ΒΑ. δείλαιαί γ' αὗται, τὸν βουκόλον ὡς κακὸν εὗρον.
ΚΟ. ἦ μὰν δείλαιαί γε, καὶ οὐκέτι λῶντι νέμεσθαι.
ΒΑ. τήνας μὲν δή τοι τᾶς πόρτιος αὐτὰ λέλειπται
τὠστία. μὴ πρῶκας σιτίζεται ὥσπερ ὁ τέττιξ;
ΚΟ. οὐ Δᾶν, ἀλλ' ὅκα μέν νιν ἐπ' Αἰσάροιο νομεύω
καὶ μαλακῶ χόρτοιο καλὰν κώμυθα δίδωμι,
ἄλλοκα δὲ σκαίρει τὸ βαθύσκιον ἀμφὶ Λάτυμνον.
ΒΑ. λεπτὸς μὰν χὡ ταῦρος ὁ πυρρίχος. αἴθε λάχοιεν
τοὶ τῶ Λαμπριάδα, τοὶ δαμόται ὅκκα θύωντι
τᾷ Ἥρᾳ, τοιόνδε· †κακοχράσμων† γὰρ ὁ δᾶμος.
ΚΟ. καὶ μὰν ἐς στομάλιμνον ἐλαύνεται ἔς τε τὰ Φύσκω,
καὶ ποτὶ τὸν Νήαιθον, ὅπᾳ καλὰ πάντα φύοντι,
αἰγίπυρος καὶ κνύζα καὶ εὐώδης μελίτεια.
ΒΑ. φεῦ φεῦ βασεῦνται καὶ ταὶ βόες, ὦ τάλαν Αἴγων,
εἰς Ἀίδαν ὅκα καὶ τὺ κακᾶς ἠράσσαο νίκας,
χὰ σῦριγξ εὐρῶτι παλύνεται, ἅν ποκ' ἐπάξα.
ΚΟ. οὐ τήνα γ', οὐ Νύμφας, ἐπεὶ ποτὶ Πῖσαν ἀφέρπων
δῶρον ἐμοί νιν ἔλειπεν· ἐγὼ δέ τις εἰμὶ μελικτάς,
κεὖ μὲν τὰ Γλαύκας ἀγκρούομαι, εὖ δὲ τὰ Πύρρω.

5 οὗτος K[1] ωὑτὸς AGU | βουκόλος Ahr. βωκ- codd. 7, 8 om. G 7 ἐν PAU ἐπ' QW om. K 10 τουτόθε S Mosch. -όθι codd. | μῆλα Ahr. μᾶλα codd. 11 κα Ahr. κε K τοι cett. 12 αἴδε K ὧδε cett. 13 γ' PSTr δ' cett. 17 γᾶν K: cf. 7. 39 | νομεύων WAG 21 θύωντι Valck. -οντι codd. 22 κακοφράσμων Harl. 5691 | ὁ ταῦρος Σ u.l. 24 ὅπῃ KP 28 ἐπάξω K[2]QW

αἰνέω τάν τε Κρότωνα—'Καλὰ πόλις ἅ τε Ζάκυνθος ...'—
καὶ τὸ ποταῷον τὸ Λακίνιον, ᾇπερ ὁ πύκτας
Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάζας.
τηνεὶ καὶ τὸν ταῦρον ἀπ' ὤρεος ἆγε πιάξας
τᾶς ὁπλᾶς κἤδωκ' Ἀμαρυλλίδι, ταὶ δὲ γυναῖκες
μακρὸν ἀνάυσαν, χὠ βουκόλος ἐξεγέλασσεν.
ΒΑ. ὦ χαρίεσσ' Ἀμαρυλλί, μόνας σέθεν οὐδὲ θανοίσας
λασεύμεσθ'· ὅσον αἶγες ἐμὶν φίλαι, ὅσσον ἀπέσβης.
αἰαῖ τῶ σκληρῶ μάλα δαίμονος ὅς με λελόγχει.
ΚΟ. θαρσεῖν χρή, φίλε Βάττε· τάχ' αὔριον ἔσσετ' ἄμεινον.
ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες,
χὠ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος ἄλλοκα δ' ὕει.
ΒΑ. θαρσέω. βάλλε κάτωθε τὰ μοσχία· τᾶς γὰρ ἐλαίας
τὸν θαλλὸν τρώγοντι, τὰ δύσσοα. ΚΟ. σίτθ', ὁ Λέπαργος,
σίτθ', ἁ Κυμαίθα, ποτὶ τὸν λόφον. οὐκ ἐσακούεις;
ἡξῶ, ναὶ τὸν Πᾶνα, κακὸν τέλος αὐτίκα δωσῶν
εἰ μὴ ἄπει τουτῶθεν. ἴδ' αὖ πάλιν ἅδε ποθέρπει.
αἴθ' ἧς μοι ῥοικόν τι λαγωβόλον ὥς τυ πάταξα.
ΒΑ. θᾶσαί μ', ὦ Κορύδων, ποττῶ Διός· ἁ γὰρ ἄκανθα
ἁρμοῖ μ' ὧδ' ἐπάταξ' ὑπὸ τὸ σφυρόν. ὡς δὲ βαθεῖαι
τἀτρακτυλλίδες ἐντί. κακῶς ἁ πόρτις ὄλοιτο·
εἰς ταύταν ἐτύπην χασμεύμενος. ἦ ῥά γε λεύσσεις;
ΚΟ. ναὶ ναί, τοῖς ὀνύχεσσιν ἔχω τέ νιν· ἅδε καὶ αὐτά.
ΒΑ. ὁσσίχον ἐστὶ τὸ τύμμα, καὶ ἁλίκον ἄνδρα δαμάσδει.
ΚΟ. εἰς ὄρος ὅκχ' ἕρπῃς, μὴ νήλιπος ἔρχεο, Βάττε·
ἐν γὰρ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι κομόωντι.

37 *ἐξεγέλασεν* KQWG *-αξε* Tzetz. *Chil.* 2. 585  39 *ἄλγος ἐ., φίλα,* Fritz. | *ὅσσον* KS *τόσσον* cett.  46 *σίτθ' ἁ* GU *σίτθ' ὦ* A *σίττ' ὦ* cett. | *Κιναίθα* PQW: cf. 1. 151, 5. 102  48 *ὧδε* PW om. Q  49 *ἧς* Toup *ἦν* codd. | *τι* Herm. *τὺ* P *τὸ* cett. | *πάταξα* K[1] *-ξω* cett. 50 *ποτὶ τῶ* KAGU  53 *εἰς* ed. Morel. *ἐς* codd. | *ἐτύπην* Ahr. *-αν* codd. | *χασμώμενος* SMosch. | *ῥά γε* Med. *ῥά τε* KAGU *ἄρα* PQW 56 *ὅκχ'* Iunt. *ὅκκ'* KAGU *ὅχ'* PQW | *νήλιπος* K *ἀνήλ-, ἀνάλ-* cett.  57 *κάκτοι τε* Σ u.l. | *κομέονται* Q[1] Et.M. 156. 31





ΒΑ. εἴπ' ἄγε μ', ὦ Κορύδων, τὸ γερόντιον ἦ ῥ' ἔτι μύλλει
τήναν τὰν κυάνοφρυν ἐρωτίδα τᾶς ποκ' ἐκνίσθη;
ΚΟ. ἀκμὰν γ', ὦ δείλαιε· πρόαν γε μὲν αὐτὸς ἐπενθὼν
καὶ ποτὶ τᾷ μάνδρᾳ κατελάμβανον ἆμος ἐνήργει.
ΒΑ. εὖ γ', ὤνθρωπε φιλοῖφα. τό τοι γένος ἢ Σατυρίσκοις
ἐγγύθεν ἢ Πάνεσσι κακοκνάμοισιν ἐρίσδει.

# V. ΘΕΟΚΡΙΤΟΥ ΑΙΠΟΛΙΚΟΝ ΚΑΙ ΠΟΙΜΕΝΙΚΟΝ

*ΚΟΜΑΤΑΣ*

Αἶγες ἐμαί, τῆνον τὸν ποιμένα, τὸν Συβαρίταν,
φεύγετε, τὸν Λάκωνα· τό μευ νάκος ἐχθὲς ἔκλεψεν.

*ΛΑΚΩΝ*

οὐκ ἀπὸ τᾶς κράνας; σίττ', ἀμνίδες· οὐκ ἐσορῆτε
τόν μευ τὰν σύριγγα πρόαν κλέψαντα Κομάταν;
ΚΟ. τὰν ποίαν σύριγγα; τὺ γάρ ποκα, δῶλε Σιβύρτα,
ἐκτάσω σύριγγα; τί δ' οὐκέτι σὺν Κορύδωνι
ἀρκεῖ τοι καλάμας αὐλὸν ποππύσδεν ἔχοντι;
ΛΑ. τάν μοι ἔδωκε Λύκων, ὠλεύθερε. τὶν δὲ τὸ ποῖον
Λάκων ἀγκλέψας ποκ' ἔβα νάκος; εἰπέ, Κομάτα·
οὐδὲ γὰρ Εὐμάρᾳ τῷ δεσπότᾳ ἧς τοι ἐνεύδειν.

60 *γ'* om. K | *πρόαν* E *πρώαν* PQW *πράν* cett.  61 *τὰν μάνδραν* Q[1]WAGU *τὰν μάκτραν* Σ u.l. | *ἐνήργει* S *ἐνάρ-* codd.  63 *ἐρίσδεις* K[1] *ἐρείδεις* Lobel

Codd. Primarii: K PQW [Laur.] AGL (55–fin.) [Vat.]
Papp.: 𝔓1 (136–49), 𝔓2 (53–65, 81–93, 110–22, 127–37, 139–fin.), 𝔓3 (19–28, 33–37, 88–96, 143–fin.), 𝔓4 (3–8, 50–56, 83–89). Commentarium in uu. 38–45 conseruat p. Berol. 7506.
Titulus: *Αἰπολικὸν (καὶ) ποιμενικόν* Σ arg. et ad 7. 21 praefixo *'Οδοιπόροι* KG addito *Βουκολιασταὶ Δωρίδι* K praefixo *Βουκολιασταί* PQ(?) *'Οδοιπόροι* A *]ροι* 𝔓3 *'Οδοιπόροι* ex Id. 7, *Βουκολιασταί* ex Id. 6 uel 8 huc translata.
3 *κράνας* codd. *α[κ]ρα[ς* ut uid. 𝔓4  4 *πρόαν* Briggs *πρώαν* codd.: cf. 4. 60  5 *Σιβύρτα* KP *Σιβάρτα* W *Συβάρτα* QA *Συβαρίτα* G: cf. 72, 74

ΚΟ. τὸ Κροκύλος μοι ἔδωκε, τὸ ποικίλον, ἀνίκ' ἔθυσε
ταῖς Νύμφαις τὰν αἶγα· τὺ δ', ὦ κακέ, καὶ τόκ' ἐτάκευ
βασκαίνων, καὶ νῦν με τὰ λοίσθια γυμνὸν ἔθηκας.
ΛΑ. οὐ μαυτὸν τὸν Πᾶνα τὸν ἄκτιον, οὔ τέ γε Λάκων
τὰν βαίταν ἀπέδυσ' ὁ Καλαιθίδος· ἢ κατὰ τήνας
τᾶς πέτρας, ὤνθρωπε, μανεὶς εἰς Κρᾶθιν ἁλοίμαν.
ΚΟ. οὐ μάν, οὐ ταύτας τὰς λιμνάδας, ὠγαθέ, Νύμφας,
αἴτε μοι ἵλαοί τε καὶ εὐμενέες τελέθοιεν,
οὔ τευ τὰν σύριγγα λαθὼν ἔκλεψε Κομάτας.
ΛΑ. αἴ τοι πιστεύσαιμι, τὰ Δάφνιδος ἄλγε' ἀροίμαν.
ἀλλ' ὧν αἴ κα λῇς ἔριφον θέμεν, ἔστι μὲν οὐδέν
ἱερόν, ἀλλά γέ τοι διαείσομαι ἔστε κ' ἀπείπῃς.
ΚΟ. ὗς ποτ' Ἀθαναίαν ἔριν ἤρισεν. ἠνίδε κεῖται
ὥριφος· ἀλλ' ἄγε καὶ τύ τιν' εὔβοτον ἀμνὸν ἔρειδε.
ΛΑ. καὶ πῶς, ὦ κίναδος τύ, τάδ' ἔσσεται ἐξ ἴσω ἄμμιν;
τίς τρίχας ἀντ' ἐρίων ἐποκίξατο; τίς δὲ παρεύσας
αἰγὸς πρατοτόκοιο κακὰν κύνα δήλετ' ἀμέλγειν;
ΚΟ. ὅστις νικασεῖν τὸν πλατίον ὡς τὺ πεποίθεις,
σφὰξ βομβέων τέττιγος ἐναντίον. ἀλλὰ γὰρ οὔτι
ὥριφος ἰσοπαλής τοι, ἴδ' ὁ τράγος οὗτος· ἔρισδε.
ΛΑ. μὴ σπεῦδ'· οὐ γάρ τοι πυρὶ θάλπεαι. ἅδιον ᾀσῇ
τεῖδ' ὑπὸ τὰν κότινον καὶ τἄλσεα ταῦτα καθίξας.
ψυχρὸν ὕδωρ τουτεὶ καταλείβεται· ὧδε πεφύκει
ποία, χἀ στιβὰς ἅδε, καὶ ἀκρίδες ὧδε λαλεῦντι.
ΚΟ. ἀλλ' οὔτι σπεύδω· μέγα δ' ἄχθομαι εἰ τύ με τολμῇς
ὄμμασι τοῖς ὀρθοῖσι ποτιβλέπεν, ὅν ποκ' ἐόντα

14 τέ Kiess. σέ codd. 19 ἔκλεψα PG 21 ὧν Brunck οὖν 𝔓3 codd. | ἔστι Ahr. ἐντὶ codd. 22 ἀλλ' ἄγε KW 23 ποτ' S ποκ' codd. 24 τιν' Fritz. τὸν codd. | ἔρισδε $K^1$ 25 κίναδος τύ (σύ) Words. κίναδ' εὖ, κιναδεῦ codd. | τάδ' A τά γ' PG τάδε γ' KQW | ἴσω Briggs ἴσου codd. | ἀμῖν K 27 πρατοτόκοιο Ahr. πρωτ- 𝔓3 codd. 29 οὔτι S οὔτοι codd. 30 τοι Koehler τυ codd. 32 τεῖδ' KA τῆδ' G τεῖνδ' PQW 33 τουτεὶ P$Q^2$S τηνεὶ KQWAG 36 τοῖσδ' Herm.





παῖδ' ἔτ' ἐγὼν ἐδίδασκον. ἴδ' ἁ χάρις ἐς τί ποχ' ἕρπει·
θρέψαι καὶ λυκιδεῖς, θρέψαι κύνας, ὥς τυ φάγωντι.
ΛΑ. καὶ πόκ' ἐγὼν παρὰ τεῦς τι μαθὼν καλὸν ἢ καὶ ἀκούσας
μέμναμ', ὦ φθονερὸν τὺ καὶ ἀπρεπὲς ἀνδρίον αὔτως;
ΚΟ. ἀνίκ' ἐπύγιζόν τυ, τὺ δ' ἄλγεες· αἱ δὲ χίμαιραι
αἵδε κατεβληχῶντο, καὶ ὁ τράγος αὐτὰς ἐτρύπη.
ΛΑ. μὴ βάθιον τήνω πυγίσματος, ὑβέ, ταφείης.
ἀλλὰ γὰρ ἕρφ', ὧδ' ἕρπε, καὶ ὕστατα βουκολιαξῇ.
ΚΟ. οὐχ ἑρψῶ τηνεί. τουτεὶ δρύες, ὧδε κύπειρος,
ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι,
ἔνθ' ὕδατος ψυχρῶ κρᾶναι δύο, ταὶ δ' ἐπὶ δένδρει
ὄρνιχες λαλαγεῦντι, καὶ ἁ σκιὰ οὐδὲν ὁμοία
τᾷ παρὰ τίν· βάλλει δὲ καὶ ἁ πίτυς ὑψόθε κώνοις.
ΛΑ. ἦ μὰν ἀρνακίδας τε καὶ εἴρια τεῖδε πατησεῖς,
αἴ κ' ἔνθῃς, ὕπνω μαλακώτερα· ταὶ δὲ τραγεῖαι
ταὶ παρὰ τὶν ὄσδοντι κακώτερον ἢ τύ περ ὄσδεις.
στασῶ δὲ κρατῆρα μέγαν λευκοῖο γάλακτος
ταῖς Νύμφαις, στασῶ δὲ καὶ ἁδέος ἄλλον ἐλαίω.
ΚΟ. αἰ δέ κε καὶ τὺ μόλῃς, ἁπαλὰν πτέριν ὧδε πατησεῖς
καὶ γλάχων' ἀνθεῦσαν· ὑπεσσεῖται δὲ χιμαιρᾶν
δέρματα τᾶν παρὰ τὶν μαλακώτερα τετράκις ἀρνᾶν.
στασῶ δ' ὀκτὼ μὲν γαυλὼς τῷ Πανὶ γάλακτος,
ὀκτὼ δὲ σκαφίδας μέλιτος πλέα κηρί' ἐχοίσας.
ΛΑ. αὐτόθε μοι ποτέρισδε καὶ αὐτόθε βουκολιάσδευ·
τὰν σαυτῶ πατέων ἔχε τὰς δρύας. ἀλλὰ τίς ἄμμε,
τίς κρινεῖ; αἴθ' ἔνθοι ποχ' ὁ βουκόλος ὧδε Λυκώπας.
ΚΟ. οὐδὲν ἐγὼ τήνω ποτιδεύομαι· ἀλλὰ τὸν ἄνδρα,

37 ποχ' ἕρπει Mein. ποθέρπει codd. 38 καὶ om. PA Stob. 2. 46. 7 κα Σ ut uid. 39 τεῦς Iunt. Ap. Dysc. *pron.* 75. 6 τεῦ codd. 44 βουκολιαξῇ S -ξεῖς codd. 45 κύπειρον PQW 49 ὑψόθε S -θι codd. | κώνους WA 50 τεῖδε Ahr. τιδε aut ηδε 𝔓4 τῆδε codd. 52 χαλεπώτερον PQW 55 κε KP κα cett. 57 πολλάκις 𝔓2 ut uid. $KAGL^1$ | ἀρνᾶν Ahr. ἀρνῶν 𝔓2 codd. 62 ποχ' Brunck ποθ' codd. | ὧδ' ὁ Λ. K

αἰ λῇς, τὸν δρυτόμον βωστρήσομες, ὃς τὰς ἐρείκας
τήνας τὰς παρὰ τὶν ξυλοχίζεται· ἔστι δὲ Μόρσων.
ΛΑ. βωστρέωμες.
ΚΟ. τὺ κάλει νιν.
ΛΑ. ἴθ' ὦ ξένε, μικκὸν ἄκουσον
τεῖδ' ἐνθών· ἄμμες γὰρ ἐρίσδομες ὅστις ἀρείων
βουκολιαστάς ἐστι. τὺ δ', ὠγαθέ, μήτ' ἐμέ, Μόρσων,
ἐν χάριτι κρίνῃς, μήτ' ὦν τύγα τοῦτον ὀνάσῃς.
ΚΟ. ναί, ποτὶ τᾶν Νυμφᾶν, Μόρσων φίλε, μήτε Κομάτᾳ
τὸ πλέον ἰθύνῃς, μήτ' ὦν τύγα τῷδε χαρίξῃ.
ἅδε τοι ἁ ποίμνα τῶ Θουρίω ἐστὶ Σιβύρτα,
Εὐμάρα δὲ τὰς αἶγας ὁρῇς, φίλε, τῶ Συβαρίτα.
ΛΑ. μὴ τύ τις ἠρώτη, ποττῶ Διός, αἴτε Σιβύρτα
αἴτ' ἐμόν ἐστι, κάκιστε, τὸ ποίμνιον; ὡς λάλος ἐσσί.
ΚΟ. βέντισθ' οὗτος, ἐγὼ μὲν ἀλαθέα πάντ' ἀγορεύω
κοὐδὲν καυχέομαι· τύγα μὰν φιλοκέρτομος ἐσσί.
ΛΑ. εἶα λέγ', εἴ τι λέγεις, καὶ τὸν ξένον ἐς πόλιν αὖθις
ζῶντ' ἄφες· ὦ Παιάν, ἦ στωμύλος ἦσθα, Κομᾶτα.
ΚΟ. ταὶ Μοῖσαί με φιλεῦντι πολὺ πλέον ἢ τὸν ἀοιδόν
Δάφνιν· ἐγὼ δ' αὐταῖς χιμάρως δύο πρᾶν ποκ' ἔθυσα.
ΛΑ. καὶ γὰρ ἔμ' Ὡπόλλων φιλέει μέγα, καὶ καλὸν αὐτῷ
κριὸν ἐγὼ βόσκω· τὰ δὲ Κάρνεα καὶ δὴ ἐφέρπει.
ΚΟ. πλὰν δύο τὰς λοιπὰς διδυματόκος αἶγας ἀμέλγω,
καί μ' ἁ παῖς ποθορεῦσα, 'τάλαν,' λέγει, 'αὐτὸς ἀμέλγεις;'
ΛΑ. φεῦ φεῦ, Λάκων τοι ταλάρως σχεδὸν εἴκατι πληροῖ
τυρῶ, καὶ τὸν ἄναβον ἐν ἄνθεσι παῖδα μολύνει.
ΚΟ. βάλλει καὶ μάλοισι τὸν αἰπόλον ἁ Κλεαρίστα
τὰς αἶγας παρελᾶντα καὶ ἁδύ τι ποππυλιάσδει.

66 βωστρέομες KPQW 67 τεῖδ' K τῆδ' AGL τεῖνδ' PQW 68 ὦ φίλε KAGL 72 Συβάρτα QW 72, 73 transp. K 74 Συβάρτα Q 76 ἀγορεύσω KAGL 77 καυχῶμαι S | γα μὰν Wil. γε μὰν PQW δ' ἄγαν cett. 85 ποθέρεισ[ 𝔓4 | ἀμέλγεις KP -ες cett.: cf. 4. 3 89 παρελᾶντα QUV Gell. 9. 9 -λαῦντα PW -λῶντα GL -λεῦντα KA: cf. 8. 73 | παππυλιάσδει u.l. ap. Eust. 565. 12





ΛΑ. κἠμὲ γὰρ ὁ Κρατίδας τὸν ποιμένα λεῖος ὑπαντῶν
ἐκμαίνει· λιπαρὰ δὲ παρ' αὐχένα σείετ' ἔθειρα.
ΚΟ. ἀλλ' οὐ συμβλήτ' ἐστὶ κυνόσβατος οὐδ' ἀνεμώνα
πρὸς ῥόδα, τῶν ἄνδηρα παρ' αἱμασιαῖσι πεφύκει.
ΛΑ. οὐδὲ γὰρ οὐδ' ἀκύλοις ὀρομαλίδες· αἳ μὲν ἔχοντι
λεπτὸν ἀπὸ πρίνοιο λεπύριον, αἳ δὲ μελιχραί.
ΚΟ. κἠγὼ μὲν δωσῶ τᾷ παρθένῳ αὐτίκα φάσσαν,
ἐκ τᾶς ἀρκεύθω καθελών· τηνεὶ γὰρ ἐφίσδει.
ΛΑ. ἀλλ' ἐγὼ ἐς χλαῖναν μαλακὸν πόκον, ὁππόκα πέξω
τὰν οἶν τὰν πέλλαν, Κρατίδᾳ δωρήσομαι αὐτός.
ΚΟ. σίττ' ἀπὸ τᾶς κοτίνω, ταὶ μηκάδες· ὧδε νέμεσθε
ὡς τὸ κάταντες τοῦτο γεώλοφον αἵ τε μυρῖκαι.
ΛΑ. οὐκ ἀπὸ τᾶς δρυός, οὗτος ὁ Κώναρος ἅ τε Κιναίθα;
τουτεὶ βοσκησεῖσθε ποτ' ἀντολὰς ὡς ὁ Φάλαρος.
ΚΟ. ἔστι δέ μοι γαυλὸς κυπαρίσσινος, ἔστι δὲ κρατήρ,
ἔργον Πραξιτέλευς· τᾷ παιδὶ δὲ ταῦτα φυλάσσω.
ΛΑ. χἀμῖν ἐστι κύων φιλοποίμνιος ὃς λύκος ἄγχει,
ὃν τῷ παιδὶ δίδωμι τὰ θηρία πάντα διώκειν.
ΚΟ. ἀκρίδες, αἳ τὸν φραγμὸν ὑπερπαδῆτε τὸν ἁμόν,
μή μευ λωβάσησθε τὰς ἀμπέλος· ἐντὶ γὰρ αὖαι.
ΛΑ. τοὶ τέττιγες, ὁρῆτε τὸν αἰπόλον ὡς ἐρεθίζω·
οὕτω κὔμμες θην ἐρεθίζετε τὼς καλαμευτάς.
ΚΟ. μισέω τὰς δασυκέρκος ἀλώπεκας, αἳ τὰ Μίκωνος
αἰεὶ φοιτῶσαι τὰ ποθέσπερα ῥαγίζοντι.
ΛΑ. καὶ γὰρ ἐγὼ μισέω τὼς κανθάρος, οἳ τὰ Φιλώνδα
σῦκα κατατρώγοντες ὑπανέμιοι φορέονται.
ΚΟ. ἦ οὐ μέμνασ' ὅκ' ἐγών τυ κατήλασα, καὶ τὺ σεσαρώς
εὖ ποτεκιγκλίζευ καὶ τᾶς δρυὸς εἴχεο τήνας;

91 παρ' αὐτόθι K κατ[ 𝔓3 93 φυλάσσει K: cf. 1. 47 94 ὀρομαλίδες 𝔓3 KPQW ὀρυμ- AGL ὀμομ- Asclepiades in Σ 95 μελίχροι Σ u.l. ut uid. 101 αἵ τε Xylander ἅτε codd. 102 Κυναίθα AGL 109 ἆβαι QW ἄζαι, αὐταί Σ uu.ll. 111 κὔμμες S Mosch. χὔμμες PQWAL χὐμὲς 𝔓2 KG 115 φορέονται 𝔓2 KAGL ποτέ- PQW 116 ἦ om. PQW | μέμνᾳ AGL (γρ. ἦ ῥα μέμνᾳ Σ) | ὅκ' Tr ὅτ' 𝔓2 codd.

ΛΑ. τοῦτο μὲν οὐ μέμναμ'· ὄκα μάν ποκα τεῖδέ τυ δήσας
Εὐμάρας ἐκάθηρε, καλῶς μάλα τοῦτό γ' ἴσαμι.
ΚΟ. ἤδη τις, Μόρσων, πικραίνεται· ἢ οὐχὶ παρῄσθευ;
σκίλλας ἰὼν γραίας ἀπὸ σάματος αὐτίκα τίλλοις.
ΛΑ. κἠγὼ μὰν κνίζω, Μόρσων, τινά· καὶ τὺ δὲ λεύσσεις.
ἐνθὼν τὰν κυκλάμινον ὄρυσσέ νυν ἐς τὸν Ἄλεντα.
ΚΟ. Ἱμέρα ἀνθ' ὕδατος ῥείτω γάλα, καὶ τὺ δέ, Κρᾶθι,
οἴνῳ πορφύροις, τὰ δέ τοι σία καρπὸν ἐνείκαι.
ΛΑ. ῥείτω χἀ Συβαρῖτις ἐμὶν μέλι, καὶ τὸ πότορθρον
ἁ παῖς ἀνθ' ὕδατος τᾷ κάλπιδι κηρία βάψαι.
ΚΟ. ταὶ μὲν ἐμαὶ κύτισόν τε καὶ αἴγιλον αἶγες ἔδοντι,
καὶ σχῖνον πατέοντι καὶ ἐν κομάροισι κέονται.
ΛΑ. ταῖσι δ' ἐμαῖς ὀίεσσι πάρεστι μὲν ἁ μελίτεια
φέρβεσθαι, πολλὸς δὲ καὶ ὡς ῥόδα κισθὸς ἐπανθεῖ.
ΚΟ. οὐκ ἔραμ' Ἀλκίππας, ὅτι με πρᾶν οὐκ ἐφίλησε
τῶν ὤτων καθελοῖσ' ὅκα οἱ τὰν φάσσαν ἔδωκα.
ΛΑ. ἀλλ' ἐγὼ Εὐμήδευς ἔραμαι μέγα· καὶ γὰρ ὄκ' αὐτῷ
τὰν σύριγγ' ὤρεξα, καλόν τί με κάρτ' ἐφίλησεν.
ΚΟ. οὐ θεμιτόν, Λάκων, ποτ' ἀηδόνα κίσσας ἐρίσδειν,
οὐδ' ἔποπας κύκνοισι· τὺ δ', ὦ τάλαν, ἐσσὶ φιλεχθής.

### ΜΟΡΣΩΝ

παύσασθαι κέλομαι τὸν ποιμένα. τὶν δέ, Κομᾶτα,
δωρεῖται Μόρσων τὰν ἀμνίδα· καὶ τὺ δὲ θύσας
ταῖς Νύμφαις Μόρσωνι καλὸν κρέας αὐτίκα πέμψον.
ΚΟ. πεμψῶ, ναὶ τὸν Πᾶνα. φριμάσσεο, πᾶσα τραγίσκων
νῦν ἀγέλα· κἠγὼν γὰρ ἴδ' ὡς μέγα τοῦτο καχαξῶ

118 ὅκα 𝔓2 KPQW ὄκκα AGL ὅτι Legr. | ποκα om. KAGL | τεῖδε 𝔓2 K τῆδε AGL τεῖνδε PQW 120 ἢ K om. cett. 121 τίλλειν AS Mosch. 122 μὰν KL μὲν cett. 123 νυν A²Tr νιν cett. | Ἀλεῦντα AGL 127 τὰν κάλπιδα AGL 129 σχοῖνον 𝔓2 AGL: cf. 7. 133 | κέονται PS Mosch. κέοντι KAGL κέχυνται QW 131 κισθὸς M Mosch. κισσὸς codd. (ῥοδάκισσος Σ u.l.) 140 Μοίσαις PQW: cf.149 142 κἠγὼ μὲν ἴδ' AGL





καττῶ Λάκωνος τῶ ποιμένος, ὅττι ποκ' ἤδη
ἀνυσάμαν τὰν ἀμνόν· ἐς ὠρανὸν ὔμμιν ἀλεῦμαι.
αἶγες ἐμαί, θαρσεῖτε, κερουχίδες· αὔριον ὔμμε
πάσας ἐγὼ λουσῶ Συβαρίτιδος ἔνδοθι λίμνας.
οὗτος ὁ λευκίτας ὁ κορυπτίλος, εἴ τιν' ὀχευσεῖς
τᾶν αἰγῶν, φλασσῶ τυ, πρὶν ἢ ἐμὲ καλλιερῆσαι
ταῖς Νύμφαις τὰν ἀμνόν. ὁ δ' αὖ πάλιν. ἀλλὰ γενοίμαν,
αἱ μή τυ φλάσσαιμι, Μελάνθιος ἀντὶ Κομάτα.

# VI. ΘΕΟΚΡΙΤΟΥ ΒΟΥΚΟΛΙΑΣΤΑΙ

## ΔΑΜΟΙΤΑΣ ΚΑΙ ΔΑΦΝΙΣ

Δαμοίτας καὶ Δάφνις ὁ βουκόλος εἰς ἕνα χῶρον
τὰν ἀγέλαν ποκ', Ἄρατε, συνάγαγον· ἦς δ' ὁ μὲν αὐτῶν
πυρρός, ὁ δ' ἡμιγένειος· ἐπὶ κράναν δέ τιν' ἄμφω
ἑσδόμενοι θέρεος μέσῳ ἄματι τοιάδ' ἄειδον.
πρᾶτος δ' ἄρξατο Δάφνις ἐπεὶ καὶ πρᾶτος ἔρισδεν.

### ΔΑΦΝΙΣ

βάλλει τοι, Πολύφαμε, τὸ ποίμνιον ἁ Γαλάτεια
μάλοισιν, δυσέρωτα καὶ αἰπόλον ἄνδρα καλεῦσα·
καὶ τύ νιν οὐ ποθόρησθα, τάλαν τάλαν, ἀλλὰ κάθησαι
ἁδέα συρίσδων.. πάλιν ἅδ', ἴδε, τὰν κύνα βάλλει,
ἅ τοι τᾶν ὀίων ἕπεται σκοπός· ἃ δὲ βαΰσδει
εἰς ἅλα δερκομένα, τὰ δέ νιν καλὰ κύματα φαίνει

143 ὧδέ ποκ' K 144 τὰν K² τὸν 𝔓2 cett.: cf. 149 145 κερουχίδες 𝔓2 codd. κερουλίδες, κερουλκίδες Σ uu.ll. 146 λίμνας AGL κράνας 𝔓3 cett. 148 αἰγῶν AS Mosch. -ᾶν cett.: cf. 8. 49 | ἢ PQ ἤ γ' 𝔓2 cett.: cf. 7. 88 149 τὰν K τὸν cett.: cf. 144

Codd. Primarii: K PQW [Laur.] AGLU (1–38) [Vat.]
Pap.: 𝔓1 (28 sq., 34–40)
Titulus: Βουκολιασταὶ Δαμοίτας καὶ Δάφνις codd.
1 καὶ PQAU χὠ cett. 7 καὶ Mein. τὸν codd. 9 ἁδὶ τὰν P Σ u.l. 11 ῥαίνει Σ u.l.

*ἅσυχα καχλάζοντος ἐπ' αἰγιαλοῖο θέοισαν.*
*φράζεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμαισιν ὀρούσῃ*
*ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.*
*ἃ δὲ καὶ αὐτόθε τοι διαθρύπτεται· ὡς ἀπ' ἀκάνθας*
*ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἀνίκα φρύγει,*
*καὶ φεύγει φιλέοντα καὶ οὐ φιλέοντα διώκει,*
*καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον· ἦ γὰρ ἔρωτι*
*πολλάκις, ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται.*

*Τῷ δ' ἐπὶ Δαμοίτας ἀνεβάλλετο καὶ τάδ' ἄειδεν.*

ΔΑΜΟΙΤΑΣ

*εἶδον, ναὶ τὸν Πᾶνα, τὸ ποίμνιον ἀνίκ' ἔβαλλε,*
*κοὔ μ' ἔλαθ', οὐ τὸν ἐμὸν τὸν ἕνα γλυκύν, ᾧ ποθορῶμι*
*ἐς τέλος (αὐτὰρ ὁ μάντις ὁ Τήλεμος ἔχθρ' ἀγορεύων*
*ἐχθρὰ φέροι ποτὶ οἶκον ὅπως τεκέεσσι φυλάσσοι)·*
*ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζων πάλιν οὐ ποθόρημι,*
*ἀλλ' ἄλλαν τινὰ φαμὶ γυναῖκ' ἔχεν· ἃ δ' ἀίοισα*
*ζαλοῖ μ', ὦ Παιάν, καὶ τάκεται, ἐκ δὲ θαλάσσας*
*οἰστρεῖ παπταίνοισα ποτ' ἄντρα τε καὶ ποτὶ ποίμνας.*
*σίξα δ' ὑλακτεῖν νιν καὶ τᾷ κυνί· καὶ γὰρ ὅκ' ἤρων,*
*αὐτᾶς ἐκνυζεῖτο ποτ' ἰσχία ῥύγχος ἔχοισα.*
*ταῦτα δ' ἴσως ἐσορεῦσα ποεῦντά με πολλάκι πεμψεῖ*
*ἄγγελον. αὐτὰρ ἐγὼ κλᾳξῶ θύρας ἔστε κ' ὀμόσσῃ*
*αὐτά μοι στορεσεῖν καλὰ δέμνια τᾶσδ' ἐπὶ νάσω·*
*καὶ γάρ θην οὐδ' εἶδος ἔχω κακὸν ὥς με λέγοντι.*
*ἦ γὰρ πρᾶν ἐς πόντον ἐσέβλεπον, ἦς δὲ γαλάνα,*

12 *καχλάζοντος* SΣ *-οντα* codd. 15 *αὐτόθε* P *-θι* cett. 16 *φρύγει* S *-γῇ* KWALU *-ξῇ* PG *φλέγει* Q 20 *καλὸν ἀείδε(ι)ν* PQWΣ u.l. 22 *κοὔτ' ἔλ.* K | *τὸν* alterum om. KL | *ποθορῶμι* Heins. *-ῶμαι* US *-ημαι* cett. 24 *φέροι ποτὶ* $A^{2}L^{2}U$ *φέρει (-ῃ) ποτὶ* KAL *φέροιτο ποτ'* PQWG | *φυλάσσοι* KQWG *-σσῃ* P *-ξῇ* ALU 25 *ποθόρημι* A Mosch. *-ημαι* cett. (*-ῶμαι* US) 29 *σίξα* Ruhnken *σῖγα, σίγα, σιγᾷ* codd. | *ὑλακτεῖ* $K^{1}$ Σ u.l. | *νιν* om. KPQW 30 *ἐκνυζεῖτο* $K^{2}P$ *-ᾶτο* cett. *-οῖτο* ΣK lemma *-ῆτο* S Greg. Cor. 79 | *παρ ἰ.* PQW





*καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δέ μευ ἁ μία κώρα,*
*ὡς παρ' ἐμὶν κέκριται, κατεφαίνετο, τῶν δέ τ' ὀδόντων*
*λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.*
*ὡς μὴ βασκανθῶ δὲ τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον·*
*ταῦτα γὰρ ἁ γραία με Κοτυτταρὶς ἐξεδίδαξε*
*[ἃ πρᾶν ἀμάντεσσι παρ' Ἱπποκίωνι ποταύλει].*

*Τόσσ' εἰπὼν τὸν Δάφνιν ὁ Δαμοίτας ἐφίλησε·*
*χὼ μὲν τῷ σύριγγ', ὁ δὲ τῷ καλὸν αὐλὸν ἔδωκεν.*
*αὔλει Δαμοίτας, σύρισδε δὲ Δάφνις ὁ βούτας·*
*ὠρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ.*
*νίκη μὲν οὐδάλλος, ἀνήσσατοι δ' ἐγένοντο.*

# VII. ΘΕΟΚΡΙΤΟΥ ΘΑΛΥΣΙΑ

*Ἧς χρόνος ἀνίκ' ἐγών τε καὶ Εὔκριτος εἰς τὸν Ἄλεντα*
*εἵρπομες ἐκ πόλιος, σὺν καὶ τρίτος ἄμμιν Ἀμύντας.*
*τᾷ Δηοῖ γὰρ ἔτευχε θαλύσια καὶ Φρασίδαμος*
*κἀντιγένης, δύο τέκνα Λυκωπέος, εἴ τί περ ἐσθλόν*
*χαῶν τῶν ἐπάνωθεν ἀπὸ Κλυτίας τε καὶ αὐτῶ*
*Χάλκωνος, Βούριναν ὃς ἐκ ποδὸς ἄνυε κράναν*
*εὖ ἐνερεισάμενος πέτρᾳ γόνυ· ταὶ δὲ παρ' αὐτάν*
*αἴγειροι πτελέαι τε εὔσκιον ἄλσος ὕφαινον*

36 *δέ μευ* Ahr. *δέ μοι* KPQW *δ' ἐμὶν* AGLU 37 *τοῖς δέ τ' ὀδοῦσι* Σ u.l. 41 (= 10. 16) om. K | *πρὰν* S Mosch. *πρὶν* codd. | *Ἱπποκίωνι* $M^{1}$ Mosch. *-κίωνα* PQW *-κόωντι* AGL 46 *μὰν* AGL

Codd. Primarii: K PQW [Laur.] ALU [Vat.]
Papp.: 𝔓1 (1–18, 24–27, 44–57, 64–87, 90–92, 104–31, 134–46), 𝔓2 (4–13, 68–117)
Titulus: *Θαλύσια* Σ arg. et 3. 8, 6. arg., 2 ]*ια*[ 𝔓1 *τὰ ἐς Κομάταν Θαλ.* K *Λυκίδας ἢ Θαλ.* Et.M. 273. 42 *Θαλ. ἢ ἐαρινοὶ ὁδοιπόροι* PQ *Θαλ. ἢ ἐαρινὴ ὁδοιπορία* ALU
2 *καὶ* 𝔓1 KALU *δὲ* PQW | *ἁμὶν* PG Ap. Dysc. *pron.* 42. 7, *synt.* 177. 11 5 *ἐπάνωθεν* Reiske *ἔτ' ἄν-* codd.: cf. Epigr. 22. 3 6 *Βούρειαν* QWΣ | *ἄνυσε* PΣu.l. 7 *εὖ* Herm. et ut uid. 𝔓1 *εὖ γ'* codd. 8 *ὕφαινον* Heins. *ἔφ-* codd.

*χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.*
*κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, οὐδὲ τὸ σᾶμα*
*ἁμῖν τὸ Βρασίλα κατεφαίνετο, καί τιν' ὁδίταν*
*ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,*
*οὔνομα μὲν Λυκίδαν, ἦς δ' αἰπόλος, οὐδέ κέ τίς νιν*
*ἠγνοίησεν ἰδὼν ἐπεὶ αἰπόλῳ ἔξοχ' ἐῴκει.*
*ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο*
*κνακὸν δέρμ' ὤμοισι νέας ταμίσοιο ποτόσδον,*
*ἀμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος*
*ζωστῆρι πλακερῷ, ῥοικὰν δ' ἔχεν ἀγριελαίω*
*δεξιτερᾷ κορύναν. καί μ' ἀτρέμας εἶπε σεσαρώς*
*ὄμματι μειδιόωντι, γέλως δέ οἱ εἴχετο χείλευς·*
*'Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις,*
*ἁνίκα δὴ καὶ σαῦρος ἐν αἱμασιαῖσι καθεύδει,*
*οὐδ' ἐπιτυμβίδιοι κορυδαλλίδες ἠλαίνοντι;*
*ἦ μετὰ δαῖτ' ἄκλητος ἐπείγεαι, ἤ τινος ἀστῶν*
*λανὸν ἔπι θρῴσκεις; ὥς τοι ποσὶ νισσομένοιο*
*πᾶσα λίθος πταίοισα ποτ' ἀρβυλίδεσσιν ἀείδει.'*
*τὸν δ' ἐγὼ ἀμείφθην· 'Λυκίδα φίλε, φαντί τυ πάντες*
*ἦμεν συρικτὰν μέγ' ὑπείροχον ἔν τε νομεῦσιν*
*ἔν τ' ἀματήρεσσι. τὸ δὴ μάλα θυμὸν ἰαίνει*
*ἁμέτερον· καίτοι κατ' ἐμὸν νόον ἰσοφαρίζειν*
*ἔλπομαι. ἁ δ' ὁδὸς ἅδε θαλυσιάς· ἦ γὰρ ἑταῖροι*
*ἀνέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι*
*ὄλβω ἀπαρχόμενοι· μάλα γάρ σφισι πίονι μέτρῳ*
*ἁ δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.*
*ἀλλ' ἄγε δή, ξυνὰ γὰρ ὁδὸς ξυνὰ δὲ καὶ ἀώς,*

11 *τιν'* $Q^2WS^2$ *τὸν* cett. 12 *εσλον* 𝔓1 13 *Λυκίδας* PQW | *νιν* Zieg. *μιν* 𝔓1 𝔓2 (e *νιν*) codd. 18 *πλοκερῷ* Σ u.l. 21 *τὸ μεσ.* UG Σ (in uita) 22 *ἐφ'* ALU 23 *αἱ δ' ἐπ.* PQW | *ἐπιτυμβίδιαι* ALUΣ lemma Gal. 12. 361 | *ἠλαίνοντι* Iunt. Gal. *-ται* codd. 24 *δαῖτ' ἄκλητος* Σ u.l. *δαῖτα κλητὸς* codd. 25 *τεῦ* Mosch. Tr 28 *ἦμεν* Wil. *ἔμμεν(αι)* codd. 29 *ἀματήρεσσι* Wil. *ἀμητ-* codd. 34 *ἄλωνα* PQW





*βουκολιασδώμεσθα· τάχ' ὥτερος ἄλλον ὀνασεῖ.*
*καὶ γὰρ ἐγὼ Μοισᾶν καπυρὸν στόμα, κἠμὲ λέγοντι*
*πάντες ἀοιδὸν ἄριστον· ἐγὼ δέ τις οὐ ταχυπειθής,*
*οὐ Δᾶν· οὐ γάρ πω κατ' ἐμὸν νόον οὔτε τὸν ἐσθλόν*
*Σικελίδαν νίκημι τὸν ἐκ Σάμω οὔτε Φιλίταν*
*ἀείδων, βάτραχος δὲ ποτ' ἀκρίδας ὥς τις ἐρίσδω.'*
*ὣς ἐφάμαν ἐπίταδες· ὁ δ' αἰπόλος ἁδὺ γελάσσας,*
*'τάν τοι', ἔφα, 'κορύναν δωρύττομαι, οὕνεκεν ἐσσί*
*πᾶν ἐπ' ἀλαθείᾳ πεπλασμένον ἐκ Διὸς ἔρνος.*
*ὥς μοι καὶ τέκτων μέγ' ἀπέχθεται ὅστις ἐρευνῇ*
*ἶσον ὄρευς κορυφᾷ τελέσαι δόμον Ὠρομέδοντος,*
*καὶ Μοισᾶν ὄρνιχες ὅσοι ποτὶ Χῖον ἀοιδόν*
*ἀντία κοκκύζοντες ἐτώσια μοχθίζοντι.*
*ἀλλ' ἄγε βουκολικᾶς ταχέως ἀρξώμεθ' ἀοιδᾶς,*
*Σιμιχίδα· κἠγὼ μέν—ὅρη, φίλος, εἴ τοι ἀρέσκει*
*τοῦθ' ὅτι πρᾶν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα.*

*Ἔσσεται Ἀγεάνακτι καλὸς πλόος ἐς Μιτυλήναν,*
*χὤταν ἐφ' ἑσπερίοις Ἐρίφοις νότος ὑγρὰ διώκῃ*
*κύματα, χὠρίων ὅτ' ἐπ' ὠκεανῷ πόδας ἴσχει,*
*αἴ κα τὸν Λυκίδαν ὀπτεύμενον ἐξ Ἀφροδίτας*
*ῥύσηται· θερμὸς γὰρ ἔρως αὐτῶ με καταίθει.*
*χἀλκυόνες στορεσεῦντι τὰ κύματα τάν τε θάλασσαν*
*τόν τε νότον τόν τ' εὖρον, ὃς ἔσχατα φυκία κινεῖ,*
*ἀλκυόνες, γλαυκαῖς Νηρηίσι ταί τε μάλιστα*
*ὀρνίχων ἐφίληθεν, ὅσοις τέ περ ἐξ ἁλὸς ἄγρα.*
*Ἀγεάνακτι πλόον διζημένῳ ἐς Μιτυλήναν*

39 *γᾶν* K: cf. 4.17 40 *οὐδὲ* $KPW^1$ | *Φιλίταν* Croenert *-ήταν* codd. 42 *γελάσσας* S Mosch. *-άσας* $KPA^1$ *-άξας* cett.: cf. 128, 156 43 *δωρήσομαι* PALU 44 *κεκασμένος* $PQ^2$ *-ον* W 46 *'Ωρομέδοντος* 𝔓1 KPQWLU *Εὐρυμ-* $AU^2$ Σ u.l. 49 *ἀρχώμεθ'* PALU 52 *Μιτυλήναν* K *-άναν* cett. ut in 61 54 *ἴσχει* $Q^1S$ *-ῃ* cett. 55 *κα* Wil. *κεν* codd. 56 *ῥύηται* K 60 *ἐφίληθεν* G *-αθεν* codd. | *ὅσοις* Greverus *-αις* codd.

ὥρια πάντα γένοιτο, καὶ εὔπλοος ὅρμον ἵκοιτο.
κἠγὼ τῆνο κατ' ἆμαρ ἀνήτινον ἢ ῥοδόεντα
ἢ καὶ λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων
τὸν Πτελεατικὸν οἶνον ἀπὸ κρατῆρος ἀφυξῶ
πὰρ πυρὶ κεκλιμένος, κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ.
χἀ στιβὰς ἐσσεῖται πεπυκασμένα ἔστ' ἐπὶ πᾶχυν
κνύζᾳ τ' ἀσφοδέλῳ τε πολυγνάμπτῳ τε σελίνῳ.
καὶ πίομαι μαλακῶς μεμναμένος Ἀγεάνακτος
αὐταῖς ἐν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.
αὐλησεῦντι δέ μοι δύο ποιμένες, εἷς μὲν Ἀχαρνεύς,
εἷς δὲ Λυκωπίτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾀσεῖ
ὥς ποκα τᾶς Ξενέας ἠράσσατο Δάφνις ὁ βούτας,
χὡς ὄρος ἀμφεπονεῖτο καὶ ὡς δρύες αὐτὸν ἐθρήνευν
Ἱμέρα αἵτε φύοντι παρ' ὄχθαισιν ποταμοῖο,
εὖτε χιὼν ὥς τις κατετάκετο μακρὸν ὑφ' Αἷμον
ἢ Ἄθω ἢ Ῥοδόπαν ἢ Καύκασον ἐσχατόωντα.
ᾀσεῖ δ' ὥς ποκ' ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ
ζωὸν ἐόντα κακαῖσιν ἀτασθαλίαισιν ἄνακτος,
ὥς τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον ἰοῖσαι
κέδρον ἐς ἁδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι
οὕνεκά οἱ γλυκὺ Μοῖσα κατὰ στόματος χέε νέκταρ.
ὦ μακαριστὲ Κομᾶτα, τύ θην τάδε τερπνὰ πεπόνθεις·
καὶ τὺ κατεκλᾴσθης ἐς λάρνακα, καὶ τὺ μελισσᾶν
κηρία φερβόμενος ἔτος ὥριον ἐξεπόνασας.
αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες ἦμεν
ὥς τοι ἐγὼν ἐνόμευον ἀν' ὤρεα τὰς καλὰς αἶγας
φωνᾶς εἰσαΐων, τὺ δ' ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις
ἁδὺ μελισδόμενος κατεκέκλισο, θεῖε Κομᾶτα.'

62 ὤρια Σ u.l. (fort. οὔρ-) ὥρια codd. | εὔπλοος Schaefer -ον codd. 64 παρὰ PQ$^2$WAL 68 πολυγνάμπτῳ K -γνάπτῳ cett. 70 αὐταῖς ἐν Valck. αὐταῖσιν codd. 72 Λυκωπίτας 𝔓2 codd. -ειτας 𝔓1 73 Ξενέας 𝔓1 KQWALU Ξενίας PΣ u.l. ξανθᾶς Σ u.l. 74 ἀμφεπονεῖτο 𝔓1 𝔓2 KP$^1$ -επολεῖτο cett. 75 αιτ' ἐφύοντο 𝔓1 𝔓2 85 ἐξετέλεσσας QWM 86 ἐμεῦ PG ἐμοὶ 𝔓2 cett. 88 η γ' 𝔓2: cf. 5. 148





Χὢ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δὲ μέτ' αὖθις
κἠγὼν τοῖ' ἐφάμαν· 'Λυκίδα φίλε, πολλὰ μὲν ἄλλα
Νύμφαι κἠμὲ δίδαξαν ἀν' ὤρεα βουκολέοντα
ἐσθλά, τά που καὶ Ζηνὸς ἐπὶ θρόνον ἄγαγε φάμα·
ἀλλὰ τόγ' ἐκ πάντων μέγ' ὑπείροχον, ᾧ τυ γεραίρειν
ἀρξεῦμ'· ἀλλ' ὑπάκουσον, ἐπεὶ φίλος ἔπλεο Μοίσαις.

Σιμιχίδᾳ μὲν Ἔρωτες ἐπέπταρον· ἦ γὰρ ὁ δειλός
τόσσον ἐρᾷ Μυρτοῦς ὅσον εἴαρος αἶγες ἔρανται.
Ὥρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ
παιδὸς ὑπὸ σπλάγχνοισιν ἔχει πόθον. οἶδεν Ἄριστις,
ἐσθλὸς ἀνήρ, μέγ' ἄριστος, ὃν οὐδέ κεν αὐτὸς ἀείδειν
Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι,
ὡς ἐκ παιδὸς Ἄρατος ὑπ' ὀστίον αἴθετ' ἔρωτι.
τόν μοι, Πάν, Ὁμόλας ἐρατὸν πέδον ὅστε λέλογχας,
ἄκλητον τήνοιο φίλας ἐς χεῖρας ἐρείσαις,
εἴτ' ἔστ' ἄρα Φιλῖνος ὁ μαλθακὸς εἴτε τις ἄλλος.
κεἰ μὲν ταῦτ' ἔρδοις, ὦ Πὰν φίλε, μήτι τυ παῖδες
Ἀρκαδικοὶ σκίλλαισιν ὑπὸ πλευράς τε καὶ ὤμως
τανίκα μαστίζοιεν ὅτε κρέα τυτθὰ παρείη·
εἰ δ' ἄλλως νεύσαις, κατὰ μὲν χρόα πάντ' ὀνύχεσσι
δακνόμενος κνάσαιο καὶ ἐν κνίδαισι καθεύδοις·
εἴης δ' Ἠδωνῶν μὲν ἐν ὤρεσι χείματι μέσσῳ
Ἕβρον πὰρ ποταμὸν τετραμμένος ἐγγύθεν Ἄρκτω,
ἐν δὲ θέρει πυμάτοισι παρ' Αἰθιόπεσσι νομεύοις
πέτρᾳ ὕπο Βλεμύων, ὅθεν οὐκέτι Νεῖλος ὁρατός.
ὔμμες δ' Ὑετίδος καὶ Βυβλίδος ἁδὺ λιπόντες

90 ἀνεπαύσατο K 94 ὅττι γ' ἀείδειν Mosch. et ut uid. 𝔓2 95 ἐπάκουσον Cobet 97 ἔραντι KPQW 98 Ὥρατος S Mosch. Ἄρ- 𝔓2 codd. 101 περὶ PQW 102 ὀστίον Fritz. -έον 𝔓2 codd. 104 τήνοιο S κείνοιο 𝔓1 ut uid. 𝔓2 codd. 105 ita 𝔓1 𝔓2 codd. εἴτε Φ. ἄρ' ἐστιν S 106 κεἰ 𝔓2 W κἢν cett. 107 ὤμως Valck. -ους 𝔓1 codd. 109 νεύσαις 𝔓1 𝔓2 PQWALU -εις K 112 Ἕβρον 𝔓1 U εὖρον cett. ]ρω πα[ρ] ποταμω 𝔓2 corr. | κεκλιμένος K$^2$PQ$^1$W | Ἄρκτω S -ου codd.

*νᾶμα καὶ Οἰκοῦντα, ξανθᾶς ἕδος αἰπὺ Διώνας,*
*ὦ μάλοισιν Ἔρωτες ἐρευθομένοισιν ὁμοῖοι,*
*βάλλετέ μοι τόξοισι τὸν ἱμερόεντα Φιλῖνον,*
*βάλλετ', ἐπεὶ τὸν ξεῖνον ὁ δύσμορος οὐκ ἐλεεῖ μευ.*
*καὶ δὴ μὰν ἀπίοιο πεπαίτερος, αἱ δὲ γυναῖκες,*
*"αἰαῖ", φαντί, "Φιλῖνε, τό τοι καλὸν ἄνθος ἀπορρεῖ".*
*μηκέτι τοι φρουρέωμες ἐπὶ προθύροισιν, Ἄρατε,*
*μηδὲ πόδας τρίβωμες· ὁ δ' ὄρθριος ἄλλον ἀλέκτωρ*
*κοκκύσδων νάρκαισιν ἀνιαραῖσι διδοίη·*
*εἷς δ' ἀπὸ τᾶσδε, φέριστε, Μόλων ἄγχοιτο παλαίστρας.*
*ἄμμιν δ' ἁσυχία τε μέλοι, γραία τε παρείη*
*ἅτις ἐπιφθύζοισα τὰ μὴ καλὰ νόσφιν ἐρύκοι.'*

*Τόσσ' ἐφάμαν· ὁ δέ μοι τὸ λαγωβόλον, ἁδὺ γελάσσας,*
*ὡς πάρος, ἐκ Μοισᾶν ξεινήιον ὤπασεν ἦμεν.*
*χὼ μὲν ἀποκλίνας ἐπ' ἀριστερὰ τὰν ἐπὶ Πύξας*
*εἷρφ' ὁδόν· αὐτὰρ ἐγών τε καὶ Εὔκριτος ἐς Φρασιδάμω*
*στραφθέντες χὠ καλὸς Ἀμύντιχος ἔν τε βαθείαις*
*ἁδείας σχοίνοιο χαμευνίσιν ἐκλίνθημες*
*ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέοισι.*
*πολλαὶ δ' ἄμμιν ὕπερθε κατὰ κρατὸς δονέοντο*
*αἴγειροι πτελέαι τε· τὸ δ' ἐγγύθεν ἱερὸν ὕδωρ*
*Νυμφᾶν ἐξ ἄντροιο κατειβόμενον κελάρυζε.*
*τοὶ δὲ ποτὶ σκιαραῖς ὀροδαμνίσιν αἰθαλίωνες*
*τέττιγες λαλαγεῦντες ἔχον πόνον· ἁ δ' ὀλολυγὼν*
*τηλόθεν ἐν πυκιναῖσι βάτων τρύζεσκεν ἀκάνθαις·*
*ἄειδον κόρυδοι καὶ ἀκανθίδες, ἔστενε τρυγών,*

116 *Οἰκοῦντα* Hecker ]*ντα* 𝔓2 *-εῦντα* SΣ *-εῦντες* codd. 120 *μὰν* ALU *μάλ'* cett. *μαλαπίοιο* Maas 124 *νάρκαισι* S *-ησιν* codd. 125 *ἀπὸ* 𝔓1 KQ[2]Σ lemma *ὑπὸ* ALU *ἐπὶ* PQWΣ 128 *τόσσ'* 𝔓1 ut uid. KQ[2]ALU *ὧς* PQW | *γελάσσας* U[2]S Mosch. *-άξας* cett.: cf. 42, 156 130 *Φύξας* Σ u.l. ut uid. 131 *ἦρχ'* K 133 *σχοίνοιο* KP *σχίν-* cett.: cf. 5. 129 134 *οἰναρέαισι* L 138 *σκιεραῖς* ALU 140 *πυκιναῖσι* H *-ῇσι* codd.





*πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.*
*πάντ' ὦσδεν θέρεος μάλα πίονος, ὦσδε δ' ὀπώρας.*
*ὄχναι μὲν πὰρ ποσσί, παρὰ πλευραῖσι δὲ μᾶλα*
*δαψιλέως ἁμῖν ἐκυλίνδετο, τοὶ δ' ἐκέχυντο*
*ὄρπακες βραβίλοισι καταβρίθοντες ἔραζε·*
*τετράενες δὲ πίθων ἀπελύετο κρατὸς ἄλειφαρ.*
*Νύμφαι Κασταλίδες Παρνάσιον αἶπος ἔχοισαι,*
*ἆρά γέ πᾳ τοιόνδε Φόλω κατὰ λάινον ἄντρον*
*κρατῆρ' Ἡρακλῆι γέρων ἐστάσατο Χίρων;*
*ἆρά γέ πᾳ τῆνον τὸν ποιμένα τὸν ποτ' Ἀνάπῳ,*
*τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλε,*
*τοῖον νέκταρ ἔπεισε κατ' αὔλια ποσσὶ χορεῦσαι,*
*οἷον δὴ τόκα πῶμα διεκρανάσατε, Νύμφαι,*
*βωμῷ πὰρ Δάματρος ἁλωίδος; ἇς ἐπὶ σωρῷ*
*αὖτις ἐγὼ πάξαιμι μέγα πτύον, ἃ δὲ γελάσσαι*
*δράγματα καὶ μάκωνας ἐν ἀμφοτέραισιν ἔχοισα.*

# VIII.
# [ΘΕΟΚΡΙΤΟΥ] ΒΟΥΚΟΛΙΑΣΤΑΙ ⟨β'⟩

## *ΔΑΦΝΙΣ ΚΑΙ ΜΕΝΑΛΚΑΣ*

*Δάφνιδι τῷ χαρίεντι συνάντετο βουκολέοντι*
*μῆλα νέμων, ὡς φαντί, κατ' ὤρεα μακρὰ Μενάλκας.*
*ἄμφω τώγ' ἤστην πυρροτρίχω, ἄμφω ἀνάβω,*
*ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.*

146 *βραβίλοισι* KQ Ath.2.50A *βραβύλ-* cett.: cf. 12.3 | *ἔραζε* Ath. Et. M. 211. 5 *-ασδε* codd. 147 *ἑπτάενες* Σ lemma *τετράενον* Von der Mühll 152 *νᾶας* Heins. *λᾶας* codd. 154 *διεκρανώσατε* ALU Σ u.l. Et.M. 273. 41 155 *ἀλωάδος* ALU

Codd. Primarii: K PQW [Laur.] ALNU [Vat.]
Pap.: 𝔓1 (1–6, 9–16, 29–32, 56–65, 70–85)
Titulus: *Βουκολιασταί. Δάφνις καὶ Μενάλκας* codd. Carmen spurium esse stat. Valck.
1 *συνάντετο* Wil. *συνήν-* codd. 2 *μῆλα* Cholmeley *μᾶλα* codd. 3 *-τρι]χι* 𝔓1

πρᾶτος δ' ὦν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας·
'μυκηταν ἐπίουρε βοῶν Δάφνι, λῇς μοι ἀεῖσαι;
φαμί τυ νικασεῖν, ὅσσον θέλω αὐτὸς ἀείδων'.
τὸν δ' ἄρα χὼ Δάφνις τοιῷδ' ἀπαμείβετο μύθῳ·
'ποιμὴν εἰροπόκων ὀΐων, συρικτὰ Μενάλκα,
οὔποκα νικασεῖς μ', οὐδ' εἴ τι πάθοις τύγ' ἀείδων'.

ΜΕΝΑΛΚΑΣ

χρῄσδεις ὦν ἐσιδεῖν; χρῄσδεις καταθεῖναι ἄεθλον;

ΔΑΦΝΙΣ

χρῄσδω τοῦτ' ἐσιδεῖν, χρῄσδω καταθεῖναι ἄεθλον.
ΜΕ. καὶ τί νυ θησεύμεσθ' ὅ κεν ἁμῖν ἄρκιον εἴη;
ΔΑ. μόσχον ἐγὼ θησῶ, τὺ δὲ θὲς ἰσομάτορα ἀμνόν.
ΜΕ. οὐ θησῶ ποκα ἀμνόν, ἐπεὶ χαλεπὸς ὁ πατήρ μευ
χἀ μάτηρ, τὰ δὲ μῆλα ποθέσπερα πάντ' ἀριθμεῦντι.
ΔΑ. ἀλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἑξεῖ ὁ νικῶν;
ΜΕ. σύριγγ' ἃν ἐπόησα καλὰν ἔχω ἐννεάφωνον,
λευκὸν κηρὸν ἔχοισαν ἴσον κάτω ἶσον ἄνωθεν·
ταύταν κατθείην, τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ.
ΔΑ. ἦ μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον,
λευκὸν κηρὸν ἔχοισαν ἴσον κάτω ἶσον ἄνωθεν.
πρώαν νιν συνέπαξ'· ἔτι καὶ τὸν δάκτυλον ἀλγῶ
τοῦτον, ἐπεὶ κάλαμός με διασχισθεὶς διέτμαξεν.
ΜΕ. ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἁμέων;
ΔΑ. τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον, ἤν, καλέσωμες,
ᾧ ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φάλαρος ὑλακτεῖ.

Χοὶ μὲν παῖδες ἄυσαν, ὁ δ' αἰπόλος ἦνθ' ὑπακούσας·

9 συριγκτὰ K 10 τι πάθῃς QW παθέοις KP 11 δ' ὦν ALNU 13 καὶ τί νυ Legr. καὶ τίνα KPWLNU καί τι A erasa syllaba και[ 𝔓1 ἀλλά τι Q in rasura H Mosch. | ὅ κεν ἁμῖν Mosch. ]εν[ 𝔓1 ὅστις χ' ἁμῖν KALNU ὅστις ἁμῖν PQW | ἄρκιον H in rasura Mosch. -ιος codd. 14 θές τ' PQW θές γ' U Mosch 16 μῆλα Cholmeley μᾶλα codd. 18 ἔχω Warton ἐγὼ codd. 24 με KPQW γε ALNU | νιν ἔτμ. Mein. 28 ὑπακούσας Cobet ἐπακούσας PQ²W -σαι cett.





χοὶ μὲν παῖδες ἀείδεν, ὁ δ' αἰπόλος ἤθελε κρίνειν.
πρᾶτος δ' ὦν ἄειδε λαχὼν ἰυκτὰ Μενάλκας,
εἶτα δ' ἀμοιβαίαν ὑπελάμβανε Δάφνις ἀοιδάν
βουκολικάν· οὕτω δὲ Μενάλκας ἄρξατο πρᾶτος.

ΜΕ. ἄγκεα καὶ ποταμοί, θεῖον γένος, αἴ τι Μενάλκας
πήποχ' ὁ συρικτὰς προσφιλὲς ᾆσε μέλος,
βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνάδας· ἢν δέ ποκ' ἔνθῃ
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.
ΔΑ. κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτόν, αἴπερ ὁμοῖον
μουσίσδει Δάφνις ταῖσιν ἀηδονίσι,
τοῦτο τὸ βουκόλιον πιαίνετε· κἤν τι Μενάλκας
τεῖδ' ἀγάγῃ, χαίρων ἄφθονα πάντα νέμοι.
45 ΜΕ. ἔνθ' ὄις, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μέλισσαι
46 σμήνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι,
47 ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰ δ' ἂν ἀφέρπῃ,
44 χὠ ποιμὴν ξηρὸς τηνόθι χαἰ βοτάναι.
41 ΔΑ. παντᾷ ἔαρ, παντᾷ δὲ νομοί, παντᾷ δὲ γάλακτος
42 οὔθατα πιδῶσιν, καὶ τὰ νέα τράφεται,
43 ἔνθα καλὰ Ναῒς ἐπινίσσεται· αἰ δ' ἂν ἀφέρπῃ,
48 χὠ τὰς βῶς βόσκων χαἰ βόες αὐότεραι.
ΜΕ. ὦ τράγε, τᾶν λευκᾶν αἰγῶν ἄνερ, ἐς βάθος ὕλας
μυρίον—αἱ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι—
ἐν τήνῳ γὰρ τῆνος· ἴθ', ὦ κόλε, καὶ λέγε, 'Μίλων,
ὁ Πρωτεὺς φώκας καὶ θεὸς ὢν ἔνεμεν.'

29 ἀείδεν Gebauer -δον codd. | κρῖναι ALNU 33 γάνος Mein. 34 συριγκτὰς KWL 35 τάσδ' Fritz. 36 ἄγων Ahlwardt 38 μουσίσδει WAU -σδοι, -ζοι cett. 39 ποιμαίνετε ANU 40 τεῖδ' K τῇδ' QWALNU τεῖνδ' PQ² | ἀγάγῃ S -γοι codd. 41–43 et 45–47 trai. Bindemann 41 νομαί PQW 42 πιδῶσιν Ahr. πηδῶσιν KQALNU πλήθουσιν PQ²W | τράφεται scripsi τρέφ- codd.: cf. 3.16, 9.23, 11.40 43 Ναῒς Mein. παῖς codd. 46 ὑψίτεραι KP -ότεραι cett. 49 αἰγῶν ἄν. S -γᾶν ἄν. KALNU ἄν. -γᾶν PQW: cf. 5.148 | ἐς Wil. ὦ uel ὧ codd. 50 αἱ Wil. ὦ codd. 51 καλὲ Σ lemma | Μίλων K²PN Μίλωνι KWL Μίλῳ QAUΣ u.l. 52 ὁ Mein. ὡς codd.

‹ΔΑ. . . . . . . . . . ›
ΜΕ. μή μοι γᾶν Πέλοπος, μή μοι Κροίσεια τάλαντα
εἴη ἔχειν, μηδὲ πρόσθε θέειν ἀνέμων·
ἀλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ᾄσομαι ἀγκὰς ἔχων τυ,
σύννομα μῆλ' ἐσορῶν Σικελικάν τ' ἐς ἅλα.
ΔΑ. δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν, ὕδασι δ' αὐχμός,
ὄρνισιν δ' ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα,
ἀνδρὶ δὲ παρθενικᾶς ἁπαλᾶς πόθος. ὦ πάτερ, ὦ Ζεῦ,
οὐ μόνος ἠράσθην· καὶ τὺ γυναικοφίλας.

Ταῦτα μὲν ὧν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν,
τὰν πυμάταν δ' ᾠδὰν οὕτως ἐξᾶρχε Μενάλκας·

ΜΕ. φείδευ τᾶν ἐρίφων, φείδευ, λύκε, τᾶν τοκάδων μευ,
μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτέω.
ὦ Λάμπουρε κύον, οὕτω βαθὺς ὕπνος ἔχει τυ;
οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παιδὶ νέμοντα.
ταὶ δ' ὄιες, μηδ' ὕμμες ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι
ποίας· οὔτι καμεῖσθ' ὄκκα πάλιν ἅδε φύηται.
σίττα νέμεσθε νέμεσθε, τὰ δ' οὔθατα πλήσατε πᾶσαι,
ὡς τὸ μὲν ὧρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀποθῶμαι.

Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδεν·

ΔΑ. κἠμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
τὰς δαμάλας παρελᾶντα καλὸν καλὸν ἦμεν ἔφασκεν·
οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο τὸν πικρὸν αὐτᾷ,
ἀλλὰ κάτω βλέψας τὰν ἀμετέραν ὁδὸν εἷρπον.

Ante 53 lacunam statuit Wuestemann 53 *Κροίσεια* Jortin *χρύσεια* codd. 55 *ἄδομαι Σ* ut uid. 56 *μῆλ'* Cholmeley *μᾶλ'* codd. | *Σικελικάν τ'* Valck. *τὰν Σικελ(ικ)ὰν* codd. 59 *ἁπαλὸς* K 63 *φ. τ. ἀρνῶν, φ.λ.τ. ἐρίφων* Stob. 4. 24. 47 65 *κύον* K *-ων* cett. 67 *ὀκνεῖθ'* S Mosch. *-νῆθ', -νᾶθ', -νεῖσθ', -νῆσθ'* codd. 68 *καμεῖσθ'* Mosch. *-μοῖσθ'* K *-μῆσθ', -μᾶθ'* cett. | *ὄκκ' αὖ* Mein. 70 *ἔχωντι* Mosch. *-οντι* codd. 72 *κἦμ'* HV$^2$ *κἄμ'* codd. 73 *παρελᾶντα* 𝔓1 PQW *-λαῦντα* ALNU *-λεῦντα* K: cf. 5. 89 74 *λόγον* 𝔓1 QWALNU *-ων* KP | *τὸν* KPALNU *τὸ* QW *ἄτοπον πικρὸν Σ* u.l.





ἁδεῖ' ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα,
[ἁδὺ δὲ χὠ μόσχος γαρύεται, ἁδὺ δὲ χἁ βῶς,]
ἁδὺ δὲ τῶ θέρεος παρ' ὕδωρ ῥέον αἰθριοκοιτεῖν.
τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
τᾷ βοῒ δ' ἁ μόσχος, τῷ βουκόλῳ αἱ βόες αὐταί.

Ὣς οἱ παῖδες ἄεισαν, ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν·
'ἁδύ τι τὸ στόμα τοι καὶ ἐφίμερος, ὦ Δάφνι, φωνά·
κρέσσον μελπομένω τευ ἀκουέμεν ἢ μέλι λείχειν.
λάσδεο τὰς σύριγγας, ἐνίκασας γὰρ ἀείδων.
αἰ δέ τι λῇς με καὶ αὐτὸν ἅμ' αἰπολέοντα διδάξαι,
τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρά τοι αἶγα,
ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ'.
ὡς μὲν ὁ παῖς ἐχάρη καὶ ἀνάλατο καὶ πλατάγησε
νικάσας, οὕτως ἐπὶ ματέρι νεβρὸς ἅλοιτο.
ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ
ὥτερος, οὕτω καὶ νύμφα δμαθεῖσ' ἀκάχοιτο.
κἠκ τούτω πρᾶτος παρὰ ποιμέσι Δάφνις ἔγεντο,
καὶ νύμφαν ἄκραβος ἐὼν ἔτι Ναΐδα γᾶμεν.

# IX. [ΘΕΟΚΡΙΤΟΥ] ΒΟΥΚΟΛΙΑΣΤΑΙ ⟨γ'⟩

## ΔΑΦΝΙΣ ΚΑΙ ΜΕΝΑΛΚΑΣ

Βουκολιάζεο, Δάφνι· τὺ δ' ᾠδᾶς ἄρχεο πρᾶτος,
ᾠδᾶς ἄρχεο, Δάφνι, ἐφεψάσθω δὲ Μενάλκας,

76 *ἁδέα φ.* K 77 (= 9. 7) damn. Valck.: habet etiam 𝔓1 86 *μιτάλαν* KM *μυτάλαν Σ* u.l. 89 *νικάσας* Paris. 2512 *-ήσας* codd. | *ματέρι* K *-ρα* cett. 91 *δμαθεῖσ'* Ahr. *γαμηθεῖσ'* codd. *γαμεθεῖσ'* STr Greg. Cor. 92 92 *Δάφνις π. π. πρῶτος* ALNU 93 *ἄκραβος* scripsi *-ηβος* codd.: cf. 3

Codd. Primarii: K PQW [Laur.] ALNU [Vat.]
Titulus: *Βουκολιασταί. Δάφνις καὶ Μενάλκας* codd. *προλογίζει νομεύς τις ὁ καὶ κριτής* add. Q. Carmen spurium esse stat. Valck.
2 *ᾠδᾶς ἄρχεο* KALNU *πρᾶτος ἄειδε* PQW | *Δάφνι* KPQW *πρᾶτος* ALNU | *ἐφεψάσθω* A$^2$U *ἐφαψ-* WALN *συναψ-* KPQ *συναρξ- Σ* u.l. *συνεψ-* Gall.

*μόσχως βουσὶν ὑφέντες, ἐπὶ στείραισι δὲ ταύρως.*
*χοὶ μὲν ἀμᾷ βόσκοιντο καὶ ἐν φύλλοισι πλανῷντο*
*μηδὲν ἀτιμαγελεῦντες· ἐμὶν δὲ τὺ βουκολιάζευ*
*ἐκ τόθεν, ἄλλοθε δ' αὖτις ὑποκρίνοιτο Μενάλκας.*

ΔΑΦΝΙΣ

*ἁδὺ μὲν ἁ μόσχος γαρύεται, ἁδὺ δὲ χἀ βῶς,*
*ἁδὺ δὲ χἀ σῦριγξ χὠ βουκόλος, ἁδὺ δὲ κἠγών.*
*ἔστι δέ μοι παρ' ὕδωρ ψυχρὸν στιβάς, ἐν δὲ νένασται*
*λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα τάς μοι ἀπάσας*
*λὶψ κόμαρον τρωγοίσας ἀπὸ σκοπιᾶς ἐτίναξε.*
*τῶ δὲ θέρευς φρύγοντος ἐγὼ τόσσον μελεδαίνω*
*ὅσσον ἐρῶν τὸ πατρὸς μύθων καὶ ματρὸς ἀκούειν.*

*Οὕτω Δάφνις ἄεισεν ἐμίν, οὕτω δὲ Μενάλκας·*

ΜΕΝΑΛΚΑΣ

*Αἴτνα μᾶτερ ἐμά, κἠγὼ καλὸν ἄντρον ἐνοικέω*
*κοίλαις ἐν πέτραισιν· ἔχω δέ τοι ὅσσ' ἐν ὀνείρῳ*
*φαίνονται, πολλὰς μὲν ὄις, πολλὰς δὲ χιμαίρας,*
*ὧν μοι πρὸς κεφαλᾷ καὶ πρὸς ποσὶ κώεα κεῖται.*
*ἐν πυρὶ δὲ δρυΐνῳ χόρια ζεῖ, ἐν πυρὶ δ' αὖαι*
*φαγοὶ χειμαίνοντος· ἔχω δέ τοι οὐδ' ὅσον ὤραν*
*χείματος ἢ νωδὸς καρύων ἀμύλοιο παρόντος.*

*Τοῖς μὲν ἐπεπλατάγησα καὶ αὐτίκα δῶρον ἔδωκα,*
*Δάφνιδι μὲν κορύναν, τάν μοι πατρὸς ἔτραφεν ἀγρός,*
*αὐτοφυῆ, τὰν οὐδ' ἂν ἴσως μωμάσατο τέκτων,*
*τήνῳ δὲ στρόμβω καλὸν ὄστρακον, ὧ κρέας αὐτός*
*σιτήθην πέτραισιν ἐν Ἰκαρίαισι δοκεύσας,*

3 *ἐφέντες* Legr. | *ἐπὶ* M$^2$ Cal. *ὑπὸ* codd. 6 *ἐκ τόθεν* Cholmeley *ἔκποθεν* Non. u.l. *ἔμπο(σ)θεν* KPLNU *ἔμπροσθεν* QWAL$^2$ *ἐν ποθ' ἐν* K$^2$L$^2$U$^2$ | *ἄλλο(σ)θε(ν)* codd. *ἄλλωθεν* K$^2$ | *δ' αὖτις ὑποκρίνοιτο* LM *δὲ ποτικρ-* cett. 7 *ἁ* S *ὁ* codd. 10 *ἀπ' ἄκρας* PQ$^1$W 12 *τῶ* Wint. *τοῦ* codd. 13 *ἐρῶν τὸ* KALNU *ἐρῶντι* PQWA$^2$ | (*ἐρῶντι*) *π. μέλεται* Buech. | *ἢ ματρὸς* PQ 18 *κεῖνται* ALNU 19 *ζέει* Brunck 25 *ὧ* Brunck *οὗ* codd. 26 *Ὑκκαρίεσι* Paris. 2722





*πέντε ταμὼν πέντ' οὖσιν· ὁ δ' ἐγκαναχήσατο κόχλῳ.*

*Βουκολικαὶ Μοῖσαι, μάλα χαίρετε, φαίνετε δ' ᾠδάν*
*τάν ποκ' ἐγὼ τήνοισι παρὼν ἄεισα νομεῦσι·*
*μηκέτ' ἐπὶ γλώσσας ἄκρας ὀλοφυγγόνα φύσω.*
*'τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ,*
*ἴρηκες δ' ἴρηξιν, ἐμὶν δ' ἁ Μοῖσα καὶ ᾠδά.*
*τᾶς μοι πᾶς εἴη πλεῖος δόμος. οὔτε γὰρ ὕπνος*
*οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον, οὔτε μελίσσαις*
*ἄνθεα· τόσσον ἐμὶν Μοῖσαι φίλαι. οὓς γὰρ ὁρεῦντι*
*γαθεῦσαι τὼς δ' οὔτι ποτῷ δαλήσατο Κίρκα.'*

# X. ΘΕΟΚΡΙΤΟΥ ΕΡΓΑΤΙΝΑΙ Η ΘΕΡΙΣΤΑΙ

ΜΙΛΩΝ

*Ἐργατίνα Βουκαῖε, τί νῦν, ᾠζυρέ, πεπόνθεις;*
*οὔτε τὸν ὄγμον ἄγειν ὀρθὸν δύνᾳ, ὡς τὸ πρὶν ἆγες,*
*οὐθ' ἅμα λᾳοτομεῖς τῷ πλατίον, ἀλλ' ἀπολείπῃ,*
*ὥσπερ ὄις ποίμνας ἇς τὸν πόδα κάκτος ἔτυψε.*
*ποῖός τις δείλαν τὺ καὶ ἐκ μέσω ἄματος ἐσσῇ,*
*ὃς νῦν ἀρχόμενος τᾶς αὔλακος οὐκ ἀποτρώγεις;*

ΒΟΥΚΑΙΟΣ

*Μίλων ὀψαμᾶτα, πέτρας ἀπόκομμ' ἀτεράμνω,*
*οὐδαμά τοι συνέβα ποθέσαι τινὰ τῶν ἀπεόντων;*

28, 29 *ᾠδάς τάς* PQ$^2$W | *τόκ'* Mein. 30 *ὀλοφυγγόνα* K Hsch. s.u. *-γδόνα* cett. | *φύσω* Graefe *-ῃς* codd. 32 *δὲ M.* ALU *δέ τε M.* Q$^2$ 35 *ὅσσον* PQWNU | *γὰρ* P *μὲν* cett. Σ | *ὁρεῦντι* KPQW *-ρῆ(ν)τε* K$^2$ALU *-ῶντι* N 36 *γαθεῦσαι* Brunck *-εῦσι(ν)* codd.

Codd. Primarii: K PQW [Laur.] ALNU [Vat.]
Pap.: 𝔓3 (53–fin.)
Titulus: *Ἐργατίναι ἢ θερισταί* codd.
1 *οἰζυρέ* ALNU 2 *οὔτε τὸν* MTr *οὐ τεὸν* K *οὔθ' ἑὸν* cett. 3 *ὑπολείπῃ* PALNU 5 *δείλαν τὺ* K$^2$M *δ. τε* KQWALNU *δειλαῖε* P | *ἐκ* KM *ἐν* K$^2$ cett.

ΜΙ. οὐδαμά. τίς δὲ πόθος τῶν ἔκτοθεν ἐργάτᾳ ἀνδρί;
ΒΟ. οὐδαμά νυν συνέβα τοι ἀγρυπνῆσαι δι᾽ ἔρωτα;
ΜΙ. μηδέ γε συμβαίη· χαλεπὸν χορίω κύνα γεῦσαι.
ΒΟ. ἀλλ᾽ ἐγώ, ὦ Μίλων, ἔραμαι σχεδὸν ἑνδεκαταῖος.
ΜΙ. ἐκ πίθω ἀντλεῖς δῆλον· ἐγὼ δ᾽ ἔχω οὐδ᾽ ἅλις ὄξος.
ΒΟ. τοιγὰρ τὰ πρὸ θυρᾶν μοι ἀπὸ σπόρω ἄσκαλα πάντα.
ΜΙ. τίς δέ τυ τᾶν παίδων λυμαίνεται;
ΒΟ. ἁ Πολυβώτα,
ἃ πρᾶν ἀμάντεσσι παρ᾽ Ἱπποκίωνι ποταύλει.
ΜΙ. εὗρε θεὸς τὸν ἀλιτρόν· ἔχεις πάλαι ὧν ἐπεθύμεις·
μάντις τοι τὰν νύκτα χροϊξεῖται καλαμαία.
ΒΟ. μωμᾶσθαί μ᾽ ἄρχῃ τύ· τυφλὸς δ᾽ οὐκ αὐτὸς ὁ Πλοῦτος,
ἀλλὰ καὶ ὡφρόντιστος Ἔρως. μὴ δὴ μέγα μυθεῦ.
ΜΙ. οὐ μέγα μυθεῦμαι· τὺ μόνον κατάβαλλε τὸ λᾷον,
καί τι κόρας φιλικὸν μέλος ἀμβάλευ. ἅδιον οὕτως
ἐργαξῇ. καὶ μὰν πρότερόν ποκα μουσικὸς ἦσθα.

ΒΟ. Μοῖσαι Πιερίδες, συναείσατε τὰν ῥαδινάν μοι
παῖδ᾽· ὧν γάρ χ᾽ ἅψησθε, θεαί, καλὰ πάντα ποεῖτε.
Βομβύκα χαρίεσσα, Σύραν καλέοντί τυ πάντες,
ἰσχνάν, ἁλιόκαυστον, ἐγὼ δὲ μόνος μελίχλωρον.
καὶ τὸ ἴον μέλαν ἐστί, καὶ ἁ γραπτὰ ὑάκινθος·
ἀλλ᾽ ἔμπας ἐν τοῖς στεφάνοις τὰ πρᾶτα λέγονται.
ἁ αἴξ τὰν κύτισον, ὁ λύκος τὰν αἶγα διώκει,
ἁ γέρανος τὤροτρον· ἐγὼ δ᾽ ἐπὶ τὶν μεμάνημαι.
αἴθε μοι ἦς ὅσσα Κροῖσόν ποκα φαντὶ πεπᾶσθαι·
χρύσεοι ἀμφότεροί κ᾽ ἀνεκείμεθα τᾷ Ἀφροδίτᾳ,

14 τοιγὰρ τὰ PS τοιγάρτοι cett. 16 πρὰν S πρὶν codd. | ἀμάντεσσι Ahr. ἀμώντ- codd.: cf. 6. 41 | Ἱπποκόωντι ALNU | ποκ᾽ αὔλει KPQW$^2$ 18 τοι om. KALNU | χροιξεῖται ἁ Σ u.l. -ξεται, -ξῆται, -ζεῖται, -ζεται, -ζῆται ἁ cett. ἁ del. Valck. 20 μὴ δὴ K μηδὲ(ν) cett. 23 ἐργαζῇ KQW 24 Μοῖσαι Mein. Μῶσ- codd. 30 τὰν κ. K τὸν κ. cett. 32 ἦς ὅσσα K$^2$Q ἦς, ἦσαν, εἴησαν ὅσα cett. | ποκα K$^2$P ἔχειν ποκὰ KQW(?) ἔχειν AL om. NU





τὼς αὐλὼς μὲν ἔχοισα καὶ ἢ ῥόδον ἢ τύγε μᾶλον,
σχῆμα δ᾽ ἐγὼ καὶ καινὰς ἐπ᾽ ἀμφοτέροισιν ἀμύκλας.
Βομβύκα χαρίεσσ᾽, οἱ μὲν πόδες ἀστράγαλοί τευς,
ἁ φωνὰ δὲ τρύχνος· τὸν μὰν τρόπον οὐκ ἔχω εἰπεῖν.

ΜΙ. ἦ καλὰς ἄμμε ποῶν ἐλελάθει Βοῦκος ἀοιδάς·
ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν.
ὤμοι τῶ πώγωνος, ὃν ἁλιθίως ἀνέφυσα.
θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λιτυέρσα.

Δάματερ πολύκαρπε, πολύσταχυ, τοῦτο τὸ λᾷον
εὔεργόν τ᾽ εἴη καὶ κάρπιμον ὅττι μάλιστα.
σφίγγετ᾽, ἀμαλλοδέται, τὰ δράγματα, μὴ παριών τις
εἴπῃ, 'σύκινοι ἄνδρες· ἀπώλετο χοὖτος ὁ μισθός'.
ἐς βορέαν ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμμιν
ἢ ζέφυρον βλεπέτω· πιαίνεται ὁ στάχυς οὕτως.
σῖτον ἀλοιῶντας φεύγειν τὸ μεσαμβρινὸν ὕπνον·
ἐκ καλάμας ἄχυρον τελέθει τημόσδε μάλιστα·
ἄρχεσθαι δ᾽ ἀμῶντας ἐγειρομένω κορυδαλλῶ
καὶ λήγειν εὕδοντος, ἐλινῦσαι δὲ τὸ καῦμα.
εὐκτὸς ὁ τῶ βατράχω, παῖδες, βίος· οὐ μελεδαίνει
τὸν τὸ πιεῖν ἐγχεῦντα, πάρεστι γὰρ ἄφθονον αὐτῷ.
κάλλιον, ὦ 'πιμελητὰ φιλάργυρε, τὸν φακὸν ἕψειν
μὴ 'πιτάμῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον.

ταῦτα χρὴ μόχθεντας ἐν ἁλίῳ ἄνδρας ἀείδειν,
τὸν δὲ τεόν, Βουκαῖε, πρέπει λιμηρὸν ἔρωτα
μυθίσδεν τᾷ ματρὶ κατ᾽ εὐνὰν ὀρθρευοίσᾳ.

34 τύγε μᾶλ(λ)ον ALNU μᾶλ(λ)ον τύ cett. 35 σχοῖμι δ᾽ Σ lemma 36 τευς D$^2$ Iunt. τευ codd. 37 τρύχνα ALNU 38 ἄμμι KALNU | ἐλελάθει Wil. -λήθη, -θει codd. 40 ἀλιθίως PQ ἀληθ-, ἀλαθ- cett. | ἀνέφυσας PALNU 45 εἴπῃ P -οι cett. | ὤνδρες Edm. 46 βορέαν Neapol. 165 -ην codd. 48 ἀλοιῶντες ALNU | φεύγει ALN$^1$ | ὕπνος AL(?)N(?) 50 δ᾽ om. ALNU 53 ἐγχεῦντα 𝔓3 MS ἐκχ- codd. 55 μὴ 'πιτάμῃς 𝔓3ALNU Stob. 3. 16. 10 μή τι τάμῃς cett. | διαπρίων Stob. 56 μοχθεντας 𝔓3 -εῦντας codd.

# XI. ΘΕΟΚΡΙΤΟΥ ΚΥΚΛΩΨ

*Οὐδὲν ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,*
*Νικία, οὔτ' ἔγχριστον, ἐμὶν δοκεῖ, οὔτ' ἐπίπαστον,*
*ἢ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδύ*
*γίνετ' ἐπ' ἀνθρώποις, εὑρεῖν δ' οὐ ῥᾴδιόν ἐστι.*
*γινώσκειν δ' οἶμαί τυ καλῶς ἰατρὸν ἐόντα*
*καὶ ταῖς ἐννέα δὴ πεφιλημένον ἔξοχα Μοίσαις.*
*οὕτω γοῦν ῥάιστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἁμῖν,*
*ὡρχαῖος Πολύφαμος, ὅκ' ἤρατο τᾶς Γαλατείας,*
*ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε.*
*ἤρατο δ' οὐ μάλοις οὐδὲ ῥόδῳ οὐδὲ κικίννοις,*
*ἀλλ' ὀρθαῖς μανίαις, ἁγεῖτο δὲ πάντα πάρεργα.*
*πολλάκι ταὶ ὄιες ποτὶ τωὔλιον αὐταὶ ἀπῆνθον*
*χλωρᾶς ἐκ βοτάνας· ὁ δὲ τὰν Γαλάτειαν ἀείδων*
*αὐτὸς ἐπ' ἀιόνος κατετάκετο φυκιοέσσας*
*ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος,*
*Κύπριδος ἐκ μεγάλας τό οἱ ἥπατι πᾶξε βέλεμνον.*
*ἀλλὰ τὸ φάρμακον εὗρε, καθεζόμενος δ' ἐπὶ πέτρας*
*ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα·*

*Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ,*
*λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα ἀρνός,*
*μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς;*
*φοιτῇς δ' αὖθ' οὕτως ὅκκα γλυκὺς ὕπνος ἔχῃ με,*
*οἴχῃ δ' εὐθὺς ἰοῖσ' ὅκκα γλυκὺς ὕπνος ἀνῇ με,*

Codd. Primarii: K PQW [Laur.] ALNU [Vat.]
Pap.: Ber. 5017 (21–25)
Titulus: *Κύκλωψ Σ* arg. *καὶ* (uel *ἢ*) *Γαλάτεια* add. codd.
2 *οὐδ' ἐπίπιστον* ALNU 4 *ἀνθρώποις* K *-πους* cett. 6 *πεφιλημένον* Laur. Conv. Soppr. 158 *-αμένον* codd. 10 *οὐδὲ ῥόδῳ* Zieg. *οὐδὲ ῥόδοις* KPQW *οὐδ' αὖ ῥόδῳ* MS *οὐδ' αὖ ῥόδοις* ALNU 11 *ὀρθαῖς* K *ὀλοαῖς* cett. *Σ* u.l. 12 *τωὔλιον* AU *ταὔλ-* cett. 14 *αὐτὸς* $Q^1$WNon. *-τῶ, -τοῦ* cett. 16 *ἥ οἱ* P$Q^2$W 20 *ἀρνός* MS *δ' ἀρνός* codd.
21 *σφ⟨ρ⟩ιγ(γ)αν(ε)ωτέρα Σ* u.l.





*φεύγεις δ' ὥσπερ ὄις πολιὸν λύκον ἀθρήσασα;*
*ἠράσθην μὲν ἔγωγε τεοῦς, κόρα, ἁνίκα πρᾶτον*
*ἦνθες ἐμᾷ σὺν ματρὶ θέλοισ' ὑακίνθινα φύλλα*
*ἐξ ὄρεος δρέψασθαι, ἐγὼ δ' ὁδὸν ἁγεμόνευον.*
*παύσασθαι δ' ἐσιδών τυ καὶ ὕστερον οὐδ' ἔτι πᾳ νῦν*
*ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει, οὐ μὰ Δί' οὐδέν.*
*γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα φεύγεις·*
*οὕνεκά μοι λασία μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ*
*ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὧς μία μακρά,*
*εἷς δ' ὀφθαλμὸς ὕπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.*
*ἀλλ' οὗτος τοιοῦτος ἐὼν βοτὰ χίλια βόσκω,*
*κὴκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω·*
*τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρᾳ,*
*οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.*
*συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,*
*τίν, τὸ φίλον γλυκύμαλον, ἁμᾷ κἠμαυτὸν ἀείδων*
*πολλάκι νυκτὸς ἀωρί. τράφω δέ τοι ἕνδεκα νεβρώς,*
*πάσας μαννοφόρως, καὶ σκύμνως τέσσαρας ἄρκτων.*
*ἀλλ' ἀφίκευσο ποθ' ἁμέ, καὶ ἑξεῖς οὐδὲν ἔλασσον,*
*τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθεῖν·*
*ἅδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς.*
*ἐντὶ δάφναι τηνεί, ἐντὶ ῥαδιναὶ κυπάρισσοι,*
*ἔστι μέλας κισσός, ἔστ' ἄμπελος ἁ γλυκύκαρπος,*
*ἔστι ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα*
*λευκᾶς ἐκ χιόνος ποτὸν ἀμβρόσιον προΐητι.*
*τίς κα τῶνδε θάλασσαν ἔχειν καὶ κύμαθ' ἕλοιτο;*
*αἰ δέ τοι αὐτὸς ἐγὼν δοκέω λασιώτερος ἦμεν,*
*ἐντὶ δρυὸς ξύλα μοι καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ·*

28 *πᾳ* K *πω* A *τὰ* cett. 30 *ὥνεκα* K 31 *μὲν λ.* (om. *μοι*) K 33 *ὕπεστι* Winsem *ἔπ-* codd. 34 *οὗτος* K *οὕτως* PQW *ὡὐτὸς* ALNU 40 *τράφω* Paris. Suppl. Gr. 1024 *τρέφω* codd.: cf. 3. 16 41 *μαννοφόρως Σ* u.l. *ἀμνοφ-* codd. 42 *ἀφίκευσο* P*Σ* *ἀφίκευ* QW *ἀφίκευ τὺ* cett. 43 *ὀρεχθεῖν* K$Q^2$L$U^2$ *ἐρ-* cett. *Σ* u.l. 49 *κα* Brunck *κἆν, ἂν, τᾶν* codd. | *καὶ* Ahr. *ἢ* codd.

καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν
καὶ τὸν ἕν' ὀφθαλμόν, τῶ μοι γλυκερώτερον οὐδέν.
ὤμοι ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
ὡς κατέδυν ποτὶ τὶν καὶ τὰν χέρα τεῦς ἐφίλησα,
αἰ μὴ τὸ στόμα λῇς, ἔφερον δέ τοι ἢ κρίνα λευκά
ἢ μάκων' ἁπαλὰν ἐρυθρὰ πλαταγώνι' ἔχοισαν·
ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι,
ὥστ' οὔ κά τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην.
νῦν μάν, ὦ κόριον, νῦν αὐτίκα νεῖν γε μαθεῦμαι,
αἴ κά τις σὺν ναῒ πλέων ξένος ὧδ' ἀφίκηται,
ὡς εἰδῶ τί ποχ' ἁδὺ κατοικεῖν τὸν βυθὸν ὔμμιν.
ἐξένθοις, Γαλάτεια, καὶ ἐξενθοῖσα λάθοιο,
ὥσπερ ἐγὼ νῦν ὧδε καθήμενος, οἴκαδ' ἀπενθεῖν·
ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα καὶ γάλ' ἀμέλγειν
καὶ τυρὸν πᾶξαι τάμισον δριμεῖαν ἐνεῖσα.
ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
οὐδὲν πήποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπέρ μευ,
καὶ ταῦτ' ἆμαρ ἐπ' ἆμαρ ὁρεῦσά με λεπτύνοντα.
φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ
σφύσδειν, ὡς ἀνιαθῇ ἐπεὶ κἠγὼν ἀνιῶμαι.
ὦ Κύκλωψ Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
αἴ κ' ἐνθὼν ταλάρως τε πλέκοις καὶ θαλλὸν ἀμάσας
ταῖς ἄρνεσσι φέροις, τάχα κα πολὺ μᾶλλον ἔχοις νῶν.
τὰν παρεοῖσαν ἄμελγε· τί τὸν φεύγοντα διώκεις;
εὑρησεῖς Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.
πολλαὶ συμπαίσδεν με κόραι τὰν νύκτα κέλονται,
κιχλίζοντι δὲ πᾶσαι, ἐπεί κ' αὐταῖς ὑπακούσω.
δῆλον ὅτ' ἐν τᾷ γᾷ κἠγών τις φαίνομαι ἦμεν.

52 τεῦς K τεῦ cett.: item 55 54 ὅτι οὐκ KP 55 ἐπὶ Q$^2$ALNU 59 οὔ κά Wil. οὐκ ἄν codd. 60 αὐτίκα Paley αὐτόγα KPW τόγε Q$^2$ALNU | γε με θεσεῦμαι W μεμαθεῦμαι Q$^2$L 61 εἴτε κα σὺν K 62 ὥς κεν (ε)ἰδῶ Q$^2$WALNU | ποχ' S ποθ' codd. 69 λεπτύνοντα Mein. λεπτὸν ἐόντα codd. 70 φλασῶ KQ$^2$ 74 τοῖς ALNU | κα Ahr. κεν S καὶ codd. 78 ἐπακούσω PQ$^2$AU 79 ἦμεν MS εἶναι codd.





Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα
μουσίσδων, ῥᾷον δὲ διᾶγ' ἢ εἰ χρυσὸν ἔδωκεν.

# XII. ΘΕΟΚΡΙΤΟΥ ΑΙΤΗΣ

Ἤλυθες, ὦ φίλε κοῦρε· τρίτῃ σὺν νυκτὶ καὶ ἠοῖ
ἤλυθες· οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσιν.
ὅσσον ἔαρ χειμῶνος, ὅσον μῆλον βραβίλοιο
ἥδιον, ὅσσον ὄις σφετέρης λασιωτέρη ἀρνός,
ὅσσον παρθενικὴ προφέρει τριγάμοιο γυναικός,
ὅσσον ἐλαφροτέρη μόσχου νεβρός, ὅσσον ἀηδών
συμπάντων λιγύφωνος ἀοιδοτάτη πετεηνῶν,
τόσσον ἔμ' εὔφρηνας σὺ φανείς, σκιερὴν δ' ὑπὸ φηγόν
ἠελίου φρύγοντος ὁδοιπόρος ἔδραμον ὥς τις.
εἴθ' ὁμαλοὶ πνεύσειαν ἐπ' ἀμφοτέροισιν Ἔρωτες
νῶιν, ἐπεσσομένοις δὲ γενοίμεθα πᾶσιν ἀοιδή·
'δίω δή τινε τώδε μετὰ προτέροισι γενέσθην
φῶθ', ὁ μὲν εἴσπνηλος, φαίη χ' Ὡμυκλαϊάζων,
τὸν δ' ἕτερον πάλιν, ὥς κεν ὁ Θεσσαλὸς εἴποι, ἀίτην·
ἀλλήλους δ' ἐφίλησαν ἴσῳ ζυγῷ. ἦ ῥα τότ' ἦσαν
χρύσειοι πάλιν ἄνδρες ὅτ' ἀντεφίλησ' ὁ φιληθείς.'
εἰ γὰρ τοῦτο, πάτερ Κρονίδη, πέλοι, εἰ γάρ, ἀγήρῳ
ἀθάνατοι, γενεῇς δὲ διηκοσίῃσιν ἔπειτα
ἀγγείλειεν ἐμοί τις ἀνέξοδον εἰς Ἀχέροντα·
'ἡ σὴ νῦν φιλότης καὶ τοῦ χαρίεντος ἀίτεω
πᾶσι διὰ στόματος, μετὰ δ' ἠιθέοισι μάλιστα.'

81 εἰ KΣ om. cett.

Codd. Primarii: K PQW [Laur.] ALU [Vat.]
Pap.: 𝕻3 (14, 22–fin.)
Titulus: Ἀίτης τῇ κοινῇ Ἰάδι codd. (γέγραπται δὲ Ἰάδι διαλέκτῳ Σ arg.). Dorismos codicum praetermisi.
3 βραβύλοιο ALU: cf. 7. 146 12 δίω Ahr. δοιὼ codd. | μετὰ προτέροισι Taylor e Σ μετ' ἀμφοτ- codd. 13 χ' ἀμυκλ- K 14 ὡς καὶ ὁ Briggs